Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

600087975%

# HERACLITI
# ALLEGORIAE HOMERICAE.

EDIDIT


**E. MEHLER,**

LITT. HUM. ET PHIL. DOCT.



LUGDUNI-BATAVORUM,

APUD **E. J. BRILL**

Academiae Typographum.

MDCCCLI.



290. i. 81.

# PRAEFATIO.

Quod suspicati erant Conradus Gesnerus et Thomas Galeus, Heracliti librum de Allegoriis Homericis istis libris manuscriptis, quibus ipsis uti licuerat, non integrum contineri, quoniam apud Eustathium sub Heracliti nomine nonnulla repraesentarentur, quorum nullum in opere Heracliteo adesset vestigium: id simulatque huius saeculi initio bibliothecae Vaticanae κειμήλια Parisias migraverant, non amplius coniiciendo opus erat colligere, quum essent inter istos Codices Vaticanos, quibus manifesto demonstraretur, quam recte atque acute viri isti iudicassent. Quum enim in operis istius, quod inscriptum est »Notices et Extraits de la bibliothèque impériale," volumine VIII. pag. 238 mentio facta esset duorum codicum Vaticanorum, 305 et 871, qui Heracliti Allegorias Homericas, atque in iis multa continerent, quae in impressis huius libri editionibus desiderarentur, mox ex iis, quae Bastius in annotationibus ad Gregorium Corinthium Schaeferi et in Epistola critica ad Boissonadum, et C. B. Hasius in Bredowii Epistolis Parisiensibus ex iis codicibus, praecipue e priore, publici iuris fecerant, omnibus manifestum est factum,

eos libris ab Heracliti editoribus adhibitis non solum esse integriores, sed etiam multo praestantiores. Nec tamen e tanto diligentissimorum philologorum numero ullum spes redintegrandi scriptorem, cui pulcherrimos Alcaei Anacreontisque versus servatos debemus, adeo potuit allicere eoque adigere, ut novae parandae Heracliti editionis consilium susciperet, et integrae, et superioribus emendatioris; donec Cobetus, Franciae Italiaeque bibliothecas quum perlustraret et in iis collationum anecdotorumque thesauros colligeret, quos admirabundi videmus, quibus viri uti licet institutione et familiaritate, quosque mox laeti excipient, quibuscumque Graecarum literarum salus cordi est; donec Cobetus, inquam, etiam Heraclito exstitit sospitator, quum non solum Allegoriarum istud supplementum e Cod. 305 describeret, annotata alterius Codicis varietate, sed etiam accuratam e libris Vaticanis conficeret iam editae Allegoriarum partis collationem. Novum praeterea futuro editori paravit auxilium tertio indagato Heracliti codice Vaticano, mutilo illo quidem, sed bonae frugis pleno in illis, quae praebet. Quae omnia mihi, quem sciebat Heraclito operam dedisse, tradidit Cobetus, quibus uterer pro meis. Cuius vero et hanc insignem liberalitatem praedicare, et extollere, quae in me multa et magna contulit reliqua beneficia, non huius videtur esse loci. Quibus igitur instructus auxiliis, ad novam Heracliti parandam editionem accessi, haec sunt:

1. Codex Vaticanus 305 (V. Notices et Extraits

Tom. VI, p. 496 et Tom. VIII, pag. 238, C. B. Hase in Bredowii Epistt. Parisiens. pag. 243), ab Hasio perperam, ut videtur, bibliothecae Vaticanae trecentesimus *tertius* appellatus, de quo ipse Cobetus haec annotavit. » In Cod. Vatic. 305, bombycino, formae IV, saeculi XIV, reperi partem extremam libri de Allegoriis Homericis Heracliti. Codex est satis difficilis ad legendum, hic illic corrosus a tineis. Fol. 171 huius Codicis exstat liber *Πορφυρίου φιλοσόφου Ὁμηρικῶν ζητημάτων βιβλίον α'.* Explicit fol. 184 *ἔπειτα ὁ Νέστωρ φησὶν ἀλλ' ἄνδρας κτείνωμεν.* Spatium vacuum duorum fere versuum capax; tum fragmentum non nominati auctoris initio mutilum incipit: *θεῖναι θαλάσσῃ καὶ ταρτάρῳ. πᾶς γὰρ ὁ μῦθος ἠλληγόρηται περὶ τῶν ἐν ἀρχῇ τεττάρων στοιχείων.* Agnovi librum Heracliti et laetissimus vidi in fine esse integrum." (D.)

2. Codex Vaticanus 871, cuius accuratiorem descriptionem non dedit Cobetus; at dixit mihi formae esse VIII atque saeculi XV. De quo cff. quae sunt apud Hasium l. l. p. 244, et quae monuit Bastius in Schoellii Repertorio, Tom. I. p. 65: » Ce precieux manuscrit est beaucoup plus complet, que le texte imprimé, surtout vers la fin, où toutes les éditions ont une lacune. Gale s'était aperçu, qu'il y manquait quelque chose, mais on ignorait alors, qu'il existât un manuscrit, qui y suppléoit. Cependant, avec ce supplement même, Heraclide n'est pas encore complet " (A.).

3. Codex Vaticanus 951, qui fragmentum Hera-

cliti continet ab initio usque ad extremum caput XV, quique explicit in vocabulis τοὺς ὀνομαζομένους ἀποτροπιασμούς. De quo praeter numerum nil habeo, quod possim referre. (B.)

4. Ad emendandum Heraclitum quanti pretii essent Scholia Veneta (B) in Homerum, post Schowii demum publici iuris factam editionem a Villoisono divulgata, Hasius l. l. et indicavit et luculentissimis demonstravit exemplis. Magna enim operis Heraclitei pars in scholiis istis continetur, modo omisso, modo addito, modo obscurato Heracliti nomine. Idem de scholiis veteribus in Odysseam Buttmannus monuerat, qui quam diligentissime singulos Heracliti locos indicavit. Quam vero negligenter in Homeri Codicibus Venetis describendis et conferendis versatus fuerit Villoisonus, nil attinet monere post graves virorum doctorum omnium paene, qui Homerum attigerunt, criminationes et querimonias. Bonum factum igitur, quod novam ab eodem Cobeto confectam Codicis Ven. B. collationem adhibere mihi contigit, in qua et multa continentur, quae difficiliora scilicet lectu Villoisonus omiserat, et emendantur innumerabilia paene vitia, quibus scatent scholia, qualia ex isto codice hauserat Villoisonus et a Villoisono mutuatus est Bekkerus.

5. Neque Bibliotheca Leidensis in opere conficiendo ἔρανον mihi detrectavit. Servantur enim in ea bibliotheca quatuor Opusculorum Mythologicorum Galei exempla, quibus usi fuerant Hemsterhusius, Valckenaerius, Ruhnkenius et Wyttenbachius, quorumque in marginibus praeclari isti viri emendationes aliquot

et annotationes quantivis pretii adscripserant. Quas pro humanitate illa, quam omnes philologi noverunt atque uno ore celebrant, proque eximia erga me studiaque mea benivolentia Heraclito meo ornamento esse voluit bibliothecae spectatissimus praefectus, I. Geelius.

Editionibus in textu constituendo usus sum quantum scio quae prodierunt omnibus. Quas singulas recensebo quam brevissime:

1. Allegoriae Homericae primo typis sunt exaratae Venetiis apud Aldum 1505. fol., ad calcem fabellarum Aesopi et Gabriae inde a pag. 96. Falso enim Heynius in calce epistolae ad Schow. pag. XXXIV Heraclitum pag. 86 incipere indicavit; errore enim typographico in editione Aldina ea pagina numero 86, nec ut debuerat, numero 96 est insignita. Continet praeterea iste liber Cornutum, Palaephatum, Orum Apollinem, et proverbia. Textus Heracliti multis locis longe est emendatior, quam in posterioribus editionibus apparet. Quod lubet in nonnullis exemplis ostendere. Pag. 5 (ed. Schow.) Ald. *τρέμεν οὔρεα.* Schow. *τρέμε δ' οὔρεα.* — Pag. 13 Ald. *ἐξίσου.* Schow. *ἐξουσίας.* — Pag. 21 et ubicumque hoc vocabulum invenitur *θρυλουμενον.* Schow. *θρυλλουμενον.* — Pag. 109 *κάπρον.* Schow. *κόπρον.* — Pag. 132 *τὸ δροσερὸν τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν.* Schow. *τὸ δροσερὸν τῆς ἐαρινῆς καταστάσεως ποιῶν.* — Pag. 185 *ἐπέκλασεν ὀργήν.* Schow. *ἐπήλασεν ὀργήν.* Cuius rei, si esset operae pretium, multa praeterea exempla proponere possem.

2. Conradi Gesneri editio, quae vulgata est Basileae 1544. Textus ad Aldinam editionem est expressus. Addita est versio Latina, quam qui accurate contulerit, in ea intelliget multa a Gesnero sagaciter esse mutata atque correcta, quae in ipso textu Graeco emendare religioni ducebat.

3. Repetita est Gesneri editio ad calcem Homeri Odysseae, quae apud Vignonum prodiit a. 1586. Quod prae Gesneri editione sibi habet peculiare, sunt adiectae Mazerii notulae, quae nil aliud continent, quam locos Homericos, qui in Allegoriis occurrunt.

4. Primus nova auxilia textui emendando adhibuit Th. Galeus, qui usus est Codice, quem nomine Manuscripti Anglici designavit, textumque Heracliteum praestantissimis Codicis lectionibus suisque emendationibus receptis exhibuit in Opusculis Mythologicis, Amstelod. 1688, pag. 407—498.

5. Superioris denique saeculi anno 82 Gottingae prodiit Heracliti editio Schowiana. Textus Galeano haud est emendatior, quum Schowio praeter Gesneri Galeique editiones (Aldinam enim non contulerat) nulla in promptu fuerint subsidia critica. Tamen haud ita paucos locos Heracliteos in annotationibus aut ipse emendavit aut futuro editori corruptelae sedem indicando viam munivit. Praemissa est epistola C. G. Heynii ad editorem, in qua »commemoravit nonnulla, quae cum humidae prelo plagulae ad eum afferrentur, subnotaverat et animadverterat." Quae Heynii annotationes praeter futilia nonnulla multa continent perquam utilia, id quod ex annotationibus

a me textui subiectis manifesto satis apparebit.

Heraclitum, non Heraclidem, ut Gesnero Schowioque erat visum, scriptoris fuisse nomen, non amplius potest esse dubium, quamvis Codicum Heracliteorum auctoritate eatenus tantum in quaestione dirimenda possim inniti, quatenus iis est fides habenda, quae monuerunt Lucas Holstenius in diss. de Porphyrio cap. VIII et Fabricius, B. G. I. p. 133 sq.; quum e Codd. Vaticanis mihi de nomine nil liqueat. At cff. Schaefer. ad Greg. Corinth. pag. 170 et Osann. in praef. ad Cornut. pag. LII. Alia vero multa in promptu sunt argumenta. *Ἡράκλειτος* excitatur in Schol. ad Hom. Il. Ξ. 200 (Vid. Schaefer. l. l., Iac. Bernays., Heraclit. I pag. 27, meam denique annotationem pag. 101. 3). Eustathius ad Odysseam pag. 1504 ed. Rom. allegoriarum Homericarum scriptores nominat Palaephatum et Characem, addens *Ἡράκλειτος, οὐχ ὁ σκοτεινὸς, ἀλλ' ἕτερός τις, ὁ τοῖς ἀπίστοις προθέμενος ἐμφῆναι πίστιν*, unde colligi possit, Eustathium ad eundem auctorem retulisse Allegorias Homericas et libellum *περὶ ἀπίστων*, qui sub Heracliti nomine circumfertur. Allegoriarum Homericarum cap. 40 exstat in Schol. ad Il. O. 18, addito in fronte *Ἡρακλείτου* nomine. Descripsit e Cod. Marc. 613 Cobetus scholion ad Od. Δ. 384, cuius hoc est initium: *ἠλληγόρηται παρὰ τῷ Ἡρακλήτῳ περὶ τὸν Πρωτέα οὕτως*. Quibus omnibus adde Io. Tzetzae Exeges. in Il. pag. 4 ed. Herm.: *Ἡράκλειτος δὲ ὁ δεινὸς, φυσικῶς μὲν, ναὶ μὴν καὶ ῥητορικῶς κατὰ τὸ δοκοῦν ἐκείνῳ τὴν ὅλην Ἰλιάδα καὶ Ὀδύσσειαν ἠλληγόρησεν*. Qui enim

in Schol. ad Hes. Theog. 116 excitatur Heraclitus: *ἄλλοι μὲν ἄλλως τῶν φυσικῶν ἀνδρῶν περὶ τῆς τῶν ὄντων γενέσεως φυσιολογοῦσιν, ὁ μὲν τὸ πῦρ τιθεὶς πρεσβυγενέστερον τῶν ἄλλων, ὁποῖος Ἡράκλειτος, ὁ δὲ τὴν γῆν, ὡς Ἵππων ὁ ἄθεος κτέ.*, eum Allegoriarum scriptorem intelligendum esse miro errore arbitratus est Th. Gaisfordus (V. Ind. Nom. ad Schol. Theogon. i. v. Heraclitus, Poët. Gr. Min. Tom. III, p. 536).

Reddita iam ratione apparatus critici, quo in textu constituendo sum usus, praefandi probe finem facere possem, nisi essent nonnulla corrigenda vel addenda, quae aptius arbitror a me ipso iam corrigi vel addi, quam ab aliis, qui forte postea publici libelli existent iudices.

*Pag.* 2. Osannus ad Cornut. p. 20 pro *ἐνεσπαργανωμένοις* legi iubet *ἐνεσπαργανωμένους*, quoniam non intelligeret, quo pacto recte dici posset *ἐπάρδειν τινί τινι*. Sed non est hoc loco *ἐπάρδειν τινί τινι*, est *ἐπάρδειν τινί τί τινι*, est *ἐπάρδειν ἐνεσπαργανωμένοις τοῖς παισὶ τὰς ψυχὰς γάλακτι*, quod quam optime Graece et dici potest et scribi.

*Pag.* 3. Ubi codicum vitiosam lectionem *παντὸς ἀγνεύουσαν λύσιν* in *πάντως ἀγν. λύμης* mutaveram, Badhamius, in praef. ad Euripid. Iphigen. Taur. et Helenam pag. 18, in qua pulcherrimarum emendationum corollarium proposuit, melius ut videtur, coniecit legendum esse *παντὸς ἀγνεύουσαν μύσους*. » Idem Heraclitus » ait " alibi *παντὸς ἀγνεύουσαν ὀλυμπίου μύσους*. Obliterata syllaba *ους*, *μύσ* in *λύσιν* ob praecedentem *ἀγνεύουσαν* mutatum est."

*Pag.* 3. ἀφανῆ νεύματι σείων. Sunt fortasse haec verba Ionici systematis fragmentum, quod tamen unde possit esse desumptum, indagare non potui.

*Pag.* 12. Φοῖβον οὖν κτέ. Excitare debueram Schol. Hom. Il. *Α*. 72. Φοῖβον οὖν αὐτὸν ὀνομάζει ὡς λαμπρόν κτέ. Neque recte feci, quod pro λαμπρόν, quod bene se habet, mea coniectura in textum recepta scripsi λαμπρῶν. Cf. Lehrs, Herodiani scr. tr. emend. pag. 458.

*Pag.* 13. Badhamii emendationem πνίγῃ χειμῶσιν ἀντιμετρῶν, quam e literis ad Cobetum datis noveram, ipse iam auctor publici iuris fecit in praef. ad Eurip. pag. 6.

*Pag.* 46. φερωνύμως μὲν ὠκεανὸν εἰπὼν τὴν ὑγρὰν φύσιν παρὰ τὸ ὠκέως νάειν. Osann. ad Corn. pag. 25: Lege νέειν. Quod recte videtur ita censere.

*Pag.* 58. Coniecturam meam, qua Codicum θεωρητόν in θνητόν iudicaveram esse mutandum, non melius potueram fulcire, quam ipso collato Heraclito cap. 58: νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν πῦρ.

*Pag.* 147. In epigrammate isto Antholog. Planud., quod e corruptis Codd. Heracliteorum verbis restitui, grave vitium intactum reliqui, quod ex ipsis Codd. Vaticanorum lectionibus potuerat corrigi. Nihili enim est, quod prioris versus est initio ὁπποίας, pro quo necessario ποίας requiritur. Iam repetita vocabuli ποίας syllaba posteriore prodit, quod ut unice verum est, ita latet in Cod. D. a me proposita scriptura:

Ποίας ἀστὸν Ὅμηρον ἀναγραψώμεθα πάτρης,
Κεῖνον ἐφ᾽ ὃν πᾶσαι χεῖρ᾽ ὀρέγουσι πόλεις;

*Pag.* 149, ubi restituere mihi visus eram Platonis locum e Phaedro, p. 237. A, incautum me repudiasse veram Platoneque unice dignam lectionem, quae ex Heracliti Codicum quantumvis corruptis vocabulis emicat, Cobetus me docuit. Legendum enim est: Ἄγετε δή, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος τι μουσικὸν ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμ μοι λάβεσθε τοῦ μύθου, abiecto foedo glossemate τὸ Λιγύων post μουσικόν ab uno ex iis addito, qui manifestissima atque maxime perspicua interpretando scilicet obscurabant atque pessumdabant. Egit de hoc Phaedri loco, habito Heracliti respectu, Badhamus in praef. ad Plat. Phaedr. p. V et VI, nec tamen verum est suspicatus.

Unum superest, ut commemorem ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν, ut Heracliti verbis utar, R. Schmidtii libellum »De Plutarchea quae vulgo fertur Homeri vita Porphyrio vindicanda. Berolini 1850." In quem eximia diligentia magnaque sagacitate conscriptum opportunitatem nactus, qua data nunc non licet uti, accuratius inquirere mecum constitui.

Dabam Leidae, mense Iulio MDCCCLI.

# HERACLITI ALLEGORIAE HOMERICAE.

## CAPUT I.

Μέγας ἀπ' οὐρανοῦ ¹) καὶ χαλεπὸς ἀγὼν Ὁμήρῳ καταγγέλλεται περὶ τῆς εἰς τὸ θεῖον ὀλιγωρίας. Πάντως ²) γὰρ ἠσέβησεν, εἰ μηδὲν ἠλληγόρησεν· ἱερόσυλοι δὲ μῦθοι καὶ θεομάχου γέμοντες ἀπονοίας δι' ἀμφοτέρων τῶν σωματίων μεμήνασιν. ὥστε εἴ τις ἄνευ φιλοσόφου θεωρίας, μηδενὸς αὐτοῖς ὑφεδρεύοντος ³) ἀλληγορικοῦ τρόπου ⁴) νομίζοι κατὰ ποιητικὴν παράδοσιν εἰρῆσθαι, Σαλμωνεὺς ἂν Ὅμηρος εἴη, καὶ Τάνταλος, ἀκόλαστον γλῶσσαν ἔχων, αἰσχίστην νόσον ᵃ). ὥστε ἔμοιγε καὶ σφόδρα συμ-

¹) Fortasse pro ἀπ' οὐρανοῦ legendum est ἀποινεί. Corruptela quam facile potuerit oriri, iuxta se posito utroque vocabulo facile intelligitur: ΑΠΟΙΝΕΙ—ΑΠΟΥΝΟΥ. Vocabulum ἀποινεί, serioris quidem Graecitatis, exstat (νηποινὶ Atticis fuit in usu) in Schol. ad Aristoph. Thesm. 725 (ed. Bekk.).

²) Ita Vatic. A et B. Schow. πάντῃ.

³) Ita Vatic. A et B. Schow. ἐφεδρ.

⁴) Hemsterh. τύπου.

a) Eurip. Or. v. 10.

βέβηκε θαυμάζειν, πῶς ὁ δεισιδαίμων βίος, ὁ ναοῖς καὶ τεμένεσι καὶ ταῖς διὰ ἔτους ἑορταῖς προςτρεπόμενος [1], οὕτω τὴν ὁμηρικὴν ἀσέβειαν ἐνηγκάλισται φιλοστόργως, τοὺς ἐναγεῖς λόγους διὰ στόματος ἄγων [2]· εὐθὺς γὰρ ἐκ πρώτης ἡλικίας τὰ νήπια τῶν ἀρτιμαθῶν παίδων διδασκαλίᾳ [3]) παρ' ἐκείνῳ τιτθεύεται [4]), καὶ μονονοὺ ἐνεσπαργανωμένοις [5]) τοῖς ἔπεσιν αὐτοῦ καθαπερεὶ ποτίμῳ γάλακτι τὰς ψυχὰς ἐπάρδομεν. ἀρχομένῳ [6]) δ' ἑκάστῳ συμπαρέστηκε [7]), καὶ κατ' ὀλίγον ἀπανδρουμένῳ [8]) ἐς τελείους συνακμάζει [9]), καὶ κόρος οὐδεὶς ἄχρι γήρως·

---

[1]) Codd. ταῖς διὰ ἔτους ἐν ταῖς περὶ θεῶν προτρεπόμενος ἑορταῖς. Pro ἐν ταῖς leg. ἑορταῖς, atque del. ἑορταῖς in fine sententiae. Περὶ θεῶν a librario adscriptum esse coniicio. Προςτρεπόμενος Schowio debetur.

[2]) Codd. ᾄδων. Sed cf. Boisson. ad Eunap. I. p 288: »Bastius ingeniose correxit διὰ στόματος ἄγων, opportuneque contulit Hom. Il. Ξ. 91. Confer supra p. 253."

[3]) Fort. del. vocabul. διδασκαλίᾳ.

[4]) Cf. Bast., Ep. cr. p. 199 contra Heynium, qui pro παίδων confitetur malle se legere παιδίων in Epist. ad Schow. p. xv.

[5]) Ita Codices. Schowius cum Toupio ad Longin. p. 235 et Ruhnken. 'ενεσπαργανωμένοι. Wyttenbach. ἐνεσπαργανωμένα. Vulgatam recte tuetur Boisson. ad Philostr. Her. p. 311: »Sed ἐνεσπαργανωμένοις recte se habet, si referas non ad ἔπεσι, quod est absurdum, sed ad παισί etc."

[6]) αὐξομένῳ Wyttenb.

[7]) In animo habuit notissimum illud Menandri: ἅπαντι δαίμων ἀνδρὶ συμπαραστατεῖ.

[8]) ἀπ' ἀνδρουμένῳ Schow. αὖ ἀνδρ. Wyttenb.

[9]) Legebatur τελείοις δ' ἐνακμάζει. Perexigua lacuna in Cod. A. et Galii MS. erat inter ἀνδρ. et τελείοις.

ἀλλὰ παυσάμενοι διψῶμεν αὐτοῦ πάλιν [1]· καὶ σχεδὸν ἓν πέρας Ὁμήρῳ παρ' ἀνθρώποις, ὃ καὶ τοῦ βίου.

## CAPUT II.

Δι' ὧν σαφὲς οἶμαι καὶ πᾶσιν εὔδηλον, ὅτι [2]) οὐδεμία κηλὶς ἐναγῶν μύθων τοῖς ἔπεσιν ἐνεσπείρηται [3])· καθαρὰν δὲ καὶ πάντως ἁγνεύουσαν λύμης [4]) Ἰλιὰς πρώτη, καὶ μετὰ ταύτην Ὀδύσσεια, σύμφωνον ἑκατέρα περὶ τῆς ἰδίας εὐσεβείας κέκραγε φωνήν·

Οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην [a]).
Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἰσοφαρίζειν. [b])

Οἷος μὲν ἐν οὐρανῷ διὰ τῶν ἐπῶν καθιέρωται Ζεὺς ἀφανεῖ [5]) νεύματι σείων· ὡς δὲ Ποσειδῶνος ὁρμήσαντος [6]) αἰφνιδίως

τρέμεν οὔρεα [7]) μακρὰ καὶ ὕλη [c]).

---

[1]) Lacuna inter πάλιν et καὶ in B et Ms. Gal.

[2]) Ita in cod. B sine lacuna, quae, omisso ὅτι, inter εὔδηλον et οὐδεμία est in Cod. A et Gal. Ms. Angl.

[3]) Fort. leg. ἐνέσπαρται.

[4]) Codd. παντὸς ἁγνεύουσαν λύσιν. Pro πάντες eodem modo legatur πάντως in Democriti Sententt. (Gal. Opusc. Myth. p. 631): φίλοι οὐ πάντες (leg. πάντως) οἱ ξυγγενέες. Schowius deleta voce λύσιν reliqua censet satis convenire. Gesnero eius, quod nos coniecimus, simile quid in mentem venisse, ex interpretatione latina apparet.

[5]) Fort. leg. κεφαλῇ ἀφανεῖ νεύματι.

[6]) Ita Cod. A. et B. Idem Wyttenb. Schow. ὁρμίσαντος.

[7]) Ita Cod. B. — Cod. A cum Schow. τρέμε δ' οὔρ.

[a]) Il. Z. v. 129. [b]) Il. O. v. 104. [c]) Il. N. v. 18.

τὰ αὐτὰ δ' ὑπὲρ Ἥρας ἄν τις εἴποι·

Σείσατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον [a].
ὁμοίως δὲ Ἀθηνᾶν παρεστάναι·

Θάμβησεν δ' Ἀχιλεὺς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην, δεινὼ δέ οἱ ὄσσε φάανθεν. [b])
[1]) Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος [2]) ἰοχέαιρα
ἢ κατὰ Τηΰγετον περιμήκετον, ἢ Ἐρύμανθον,
Τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισιν [c]).

Ἃ μὲν γὰρ ἐξ ἴσου καὶ κατὰ κοινὸν ὑπὲρ ἁπάντων ἱεροπρεπῶς τεθεολόγηται, τί δεῖ καὶ λέγειν; — — μάκαρες θεοὶ αἰὲν ἐόντες [d]), καὶ — — ἄφθιτα μήδε' ἔχοντες [3])· ἢ νὴ Δία, δωτῆρες ἐάων [e]), καὶ ῥεῖα ζώοντες [f]).

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον,
Τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται [g]).

## CAPUT III.

Τίς δ' ἐπὶ [4]) τούτοις Ὅμηρον ἀσεβῆ λέγειν τολμᾷ;

---

[1]) Fortasse ὁμοίως δὲ Ἀρτέμιδα, aut simile qnid excidit. Disiunguntur saltem, quod desiderabat Galius, hi versus a proxime praecedentibus in Cod. B.

[2]) Ita Codd. A et B. Schow. οὔρεα.

[3]) Il. Ω. v. 88 et Hymn. in Ven. 43. Legitur autem in utroque loco ἄφθιτα μήδεα εἰδώς. *Schow.*

[4]) Codd. ἐπί.

*a*) Il. Θ. v. 199· *b*) Il. Α. v. 199. *c*) Od. Ζ. v. 102. *d*) Ita v. c. Od. Θ. v. 306. *e*) Od. Θ. v. 325. *f*) Od. Δ. v. 805. *g*) Il. Ε. v. 342.

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων.
'Ηέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
Καὶ ποταμοὶ, καὶ γαῖα, καὶ οἱ ὑπένερθε καμόντας
'Ανθρώπους τίνυσθον 1), ὅ τις κ' ἐπίορκον ὀμόσσῃ· a)

'Υμεῖς μάρτυροι 2) ἐστὲ τῆς 'Ομήρου θεοσεβείας, ὅτι πάθεσιν ἐξαιρέτοις ἅπαν νεωκορεῖ τὸ δαιμόνιον 3), ἐπεὶ καὶ 4) αὐτός ἐστι θεῖος. εἰ δ' ἀμαθεῖς 5) τινες ἄνθρωποι τὴν ὁμηρικὴν ἀλληγορίαν ἀγνοοῦσιν, οὐδ' εἰς τὰ μύχια τῆς ἐκείνου σοφίας καταβεβήκασιν, ἀλλ' ἀβασάνιστος 6) αὐτοῖς ἡ τῆς ἀληθείας κρίσις ἔρριπται, καὶ τὸ φιλοσόφως ῥηθὲν οὐκ εἰδότες, ὃ μυθικῶς δοκεῖ πλάσαι, προςαρμόζουσιν 7), οὗτοι μὲν ἐρρέτωσαν. 'Ημεῖς δ', οἱ τῶν ἀβεβήλων ἐντὸς περιρραντηρίων ἡγνίσμεθα, σεμνὴν ὑπὸ νόμῳ τῶν ποιημάτων τὴν ἀλήθειαν ἰχνεύωμεν.

## CAPUT IV.

'Ερρίφθω δὲ καὶ Πλάτων ὁ κόλαξ 8), 'Ομήρου συκοφάντης, ἔνδοξον ἀπὸ τῆς ἰδίας πολιτείας τὸν φυγάδα

---

1) Codd. et Edd. usque ad Schow. καὶ οἱ ὑπένερθε καμόντες ἀνθρώποις τίνυσθον.

2) Ita Codd. A. et B. Schow. μάρτυρες.

3) Codd. ὅτι πάθεσιν ἐξαιρέτοις ἐπὰν νεωκορῇ τὸ δαιμόνιον. Schow. ἐπῶν νεωκορεῖ τὸ δαιμόνιον. Legendum est haud dubie ἅπαν νεωκορεῖ τὸ δαιμόνιον. Idem video coniecisse Boisson. ad Marin. Vit. Procl. p. 81.

4) Codd. et Ed. ἐπεὶ κ'.

5) Codd. et Edd. ἀμαθῶς. Heynius item ἀμαθεῖς coniecerat.

6) Cod. A ἀλλὰ βασανίσαντος.

7) Wyttenb. fort. προαρπάζουσιν.

8) Cf. D'Orvill. Miscell. Observ. X. p. 435.

a) Il. Γ. v. 276.

προπέμπων, λευκοῖς ἐρίοις ἀνεστεμμένον, καὶ πολυτελεῖ μύρῳ τὴν κεφαλὴν διάβροχον. οὐδ' Ἐπικούρου φροντὶς ἡμῖν, ὃς τῆς [1]) ἀσέμνου περὶ τοὺς ἰδίους κήπους ἡδονῆς γεωργός ἐστιν, ἅπασαν ὁμοῦ ποιητικὴν, ὥσπερ ὀλέθριον μύθων [2]) δέλεαρ ἀφοσιούμενος. πρὸς οὓς μέγα δή τι στενάξας [3]), εἴποιμ' ἄν·

Ὦ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται [b]).

Καὶ τὸ πικρότατον, ἀρχὴν ἑκάτεροι τῶν παρ' ἑαυτοῖς δογμάτων ἔχοντες Ὅμηρον, ἀφ' οὗ τὰ πλεῖστα τῆς ἐπιστήμης ὠφέληνται, περὶ τοῦτον ἀχαρίστως εἰσὶν ἀσεβεῖς. [4]) ἀλλ' ὑπὲρ μὲν Ἐπικούρου καὶ Πλάτωνος αὖθις ἐξέσται λέγειν.

## CAPUT V.

Νυνὶ δ' ἀναγκαῖον ἴσως μικρὰ καὶ σύντομα περὶ τῆς ἀλληγορίας τεχνολογῆσαι. σχεδὸν γὰρ αὐτὸ τοὔνομα, καὶ λίαν ἐτύμως εἰρημένον, ἐλέγχει τὴν δύναμιν αὐτῆς. Ὁ γὰρ ἄλλα μὲν ἀγορεύων τρόπος, ἕτερα δὲ, ὧν λέγει, σημαίνων, ἐπωνύμως ἀλληγορία καλεῖται [5])· καθάπερ Ἀρχίλοχος [6]) μὲν ἐν τοῖς Θρᾳκικοῖς ἀπειλημμένος δεινοῖς τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι, λέγων ὧδέ πως·

---

1) Ita cum Gal. MS. Angl. Codd. A. et B. Vulgo ὅστις.

2) Fort. del. μύθων.

3) Cod. B. μέγα ἐπιστενάξας.

4) Fort. ἀχάριστοί εἰσιν ἀσεβῶς.

5) Cf. Arnob. V. 32: Sic et raptus Cereris aliud dicitur, aliud significatur, et sub vulgari simplicitate sermonis latet ratio secreta et alitudo involuta mysterii.

6) Proposui hos Archilochi et sequentes Alcaei versus, quomodo editi et emendati leguntur in Bergkii poetis Lyricis, lectionis varietate breviter annotata. Cf. Plutarch. d. Superst. c. 8; Theophr. d.

b) Od. Α. v. 32.

Γλαῦκ' a) ὅρα, βάθυς γὰρ ἤδη κύμασιν b) ταράσσεται
πόντος, ἀμφὶ δ' ἄκρα Γυρέων ὀρθὸν c) ἵσταται νέφος,
σῆμα χειμῶνος· κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

Ἐν ἱκανοῖς δὲ καὶ τὸν Μυτιληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα. τὰς γὰρ τυραννικὰς ταραχὰς ἐξίσου 1) χειμερίῳ προςεικάζει καταστήματι θαλάσσης.

2) Ἀσυνέτημι a) τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ὂν τὸ μέσσον
νᾶι b) φορήμεθα σὺν μελαίνᾳ,
χειμῶνι μοχθεῦντες μεγάλῳ μάλα. c)
πὲρ d) μὲν γὰρ ἄντλος ἰσοπέδαν ἔχει,
λαῖφος δὲ πὰν e) ζάδηλον ἤδη
καὶ λάκιδες f) μεγάλαι κατ' αὖτο. g)
Χόλαισι h) δ' ἄγκυραι.

---

sign. temp. III. p. 798. 11, ed. Schneid.; Soping. ad Hesych. i. v. Ἔξω Γλαῦκε; Th. Canter, V. L. II. c. 15; Pierson. Verisim. p. 254; Bredow. Epp. Paris. p. 255.; Th. Bergk. l. l. p. 477.

a) Codd. Γλαῦκε. b) Codd. κύμασι. c) Schow. γυρεὸν ὅρπον. Cod. A. γύρεον ὅρπων. Cod. B. γύρεον ἕρπων.

1) Ita A. et B. Gesner. τὰς γὰρ τυραννικὰς ἐξίσου. Schow. τὰς γὰρ τυραννίδας ἐξ ἴσου.

2) Cf. Heins. ad Sil. Ital. X. 325 (p. 440); Ahrens. d. dial. L. Gr. I p. 252; Bergk. l. l. p. 574. Wyttenb. primum versum, qui inter Heraclitea verba edebatur, ita putaverat esse mutandum: καὶ ἀσυνέτην τῶν ἀστῶν στάσιν.

a) Schow. ἀσυνέτην καὶ. Codd. A. et B ἀσυνέτην νῇ. b) ἂν τὸ μέσον ναῦ. c) Schow. καλάν. Codd. A. et B. καλά. V. Valcken. ad Ammon. p. 114. d) Schow. παρά. Codd. A. et B. περά. e) πᾶν. f) λακίδες. g) αὐτό. h) χολαῖσι.

*Τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας, ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον; ἀλλ' οὐχ οὕτως ἔχει. Μύρσιλος* [1]) *γὰρ ὁ δηλούμενός ἐστι, καὶ τυραννικὴ κατὰ Μυτιληναίων ἐγειρομένη σύστασις. ὁμοίως δὲ τὰ ὑπὸ τούτου αἰνιττόμενος ἑτέρωθί που λέγει·*

*Τὸ δ' ηὖτε* [2a]) *κῦμα τῶν* [b]) *προτέρων ὄνω*
*στείχει* [c]), *παρέξει δ' ἄμμι πόνον πολὺν*
*ἄντλην* [d]), *ἐπεί κα νᾶος ἔμβᾳ* [e]).

*κατακόρως* 3) *ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει, καὶ τὰ πλεῖστα τῶν διὰ τοὺς τυράννους ἐπεχόντων κακῶν πελαγίοις* 4) *χειμῶσιν εἰκάζει. Καὶ μὴν ὁ Τήιος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερηφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς* 5) *ἵππον ἠλληγόρησεν, οὕτω λέγων·*

*Πῶλε Θρηκίη,* [6a]) *τί δή με λοξὸν ὄμμασιν βλέπουσα*
*νηλεῶς φεύγεις, δοκέεις δέ μ' οὐδὲν εἰδέναι σοφόν;*
*ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,*

---

1) V. Brodaei Miscell. I. 21. pag. 26.

2) *a*) Schow. *τὸ δὲ εὖ γε.* Codd. A. et B. *τόδ' εὖτε.* *b*) Schow. *τῷ.* Codd. A. et B. *τῶ προτέρω.* *c*) Schow. *νεομωστίχει.* Codd. A. et B. *νέμω στίχει.* *d*) Schow. *δὲ ἄμμι πόνων πολλήν.* Codd. A. et B. ut Bergk. l. l. *e*) Codd. *ἐπεὶ καὶ ναὸς ἐμβαίνει.*

5) De vocabulo *κατακόρως* cf. G. Koen. ad Greg. Corinth. p. 170 (ed. Schaef.).

4) Codd. et Edd. *πελαγείοις.*

5) Cf. Aelian. H. A. IV. 11. *καὶ τῶν γυναικῶν τὰς ἀκολάστους ὑπὸ τῶν σεμνοτέρως αὐτὰς εὐθυνόντων καλεῖσθαι ἵππους.*

6) Cf. Th. Bergk. l. l. p. 682. *a*) Schow. *Θρηϊκίη.*

ἡνίας δ' ἔχων στρέφοιμ' ἄν σ' [a]) ἀμφὶ τέρματα δρόμου.
νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα [b]) παίζεις·
δεξιὸν γὰρ ἱπποσείρην [c]) οὐκ ἔχεις [d]) ἐπεμβάτην.

[1]) Καθόλου μακρὸς ἂν εἴην ἐπεξιὼν ἕκαστα τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν [2]) ἠλληγορημένων. ἀπόχρη [3]) ὀλίγαις εἰκόσι τὴν ὅλην τοῦ πράγματος τεκμηριώσασθαι φύσιν. Ἀλλ' οὐκ [4]) αὐτὸς Ὅμηρος ἀμφιβόλοις, ἔσθ' ὅτε καὶ ζητουμέναις ἔτι ταῖς ἀλληγορίαις εὑρίσκεται χρώμενος, ἐναργῆ [5]) τὸν τρόπον ἡμῖν τῆς ἑρμηνείας παραδεδωκὼς [6]) τοῦτον, ἐν οἷς Ὀδυσσεὺς, τὰ πολέμου καὶ μάχης κακὰ διεξιὼν, φησίν;

Ἧς τε [7]) πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
Ἀμητὸς δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς [e]).

---

a) Schow. στρέφοιμι. Codd. A. et B. στρέφοιμ'. Bergk. στρέφοιμί σ' aut στρέφοιμ' ἄν. Utroque demum coniuncto bene videtur sententia se habere. b) Cod. A. σκιρτοῖσα. c) Codd. ἱπποπείρην. d) A. et B. οὐχ ἕξεις.

1) Ita A et B. — Schow. καὶ καθόλου.

2) Ita A et B. — Schow. τε καὶ συγγραφ. Fortasse delenda sunt vocabula καὶ συγγρ.

3) Ita A et B. Schow. ἀποχρὴ δ'.

4) Codd. οὐδ'. Schow. ἀλλ' ὅγε. Vocabula ἔσθ' ὅτε καὶ ζητουμέναις aliena manu suspicatur esse interposita. Heyn. ἀλλ' οὖν αὐτὸς Ὅμηρος, ὅς. Interpunctione mutata, nulla opus est correctione.

5) Codd. et Schow. ἐν ἀρχῇ.

6) Codd. et Schow. παραδέδωκε.

7) Schow. ὥς ὅτε. A et B. ἧ ὅτε.

e) Il. T. v. 222.

Τὸ μὲν γὰρ λεγόμενόν ἐστι γεωργία, τὸ δὲ νοούμενον μάχη· πλὴν ὅμως δι' ἐναντίων ἀλλήλοις πραγμάτων τὸ δηλούμενον ἐπεῖπεν [1]).

## CAPUT VI.

Ὁπότ' οὖν [2]) συνήθης μὲν ἅπασι τοῖς ἄλλοις ὁ τῆς ἀλληγορίας τρόπος, ἠγνόηται δὲ οὐδὲ παρ' Ὁμήρῳ, τί παθόντες, ὅσα φαύλως ἔχειν δοκεῖ περὶ [3]) θεῶν, οὐ διὰ τῆς αὐτῆς [4]) ἀπολογίας θεραπεύσομεν; τάξις δέ μοι γενήσεται τῶν λόγων ἡ τῶν ὁμηρικῶν ἐπῶν τάξις, ἐν ἑκάστῃ ῥαψῳδίᾳ διὰ λεπτῆς ἐπιστήμης δεικνύντι τὰ περὶ θεῶν ἠλληγορημένα. Ὁ τοίνυν μιαρὸς ἀεὶ καὶ βάσκανος φθόνος οὐδὲ τῆς πρώτης ἐν ἀρχῇ πέφεισται. πολὺς γὰρ [5]) αὐτῷ θρυλεῖται [6]) περὶ τῆς Ἀπόλλωνος ὀργῆς λόγος, ὅτι τοὺς οὐδὲν αἰτίους Ἕλληνας οἱ μάτην ἀφεθέντες οἰστοὶ παρανάλωσαν, καὶ οὕτως ἄδικός ἐστιν ἡ τούτου μῆνις, ὥςθ' ὁ μὲν ὑβρίσας Χρύσην Ἀγαμέμνων οὐδὲν ἐξαίρετον ἔπαθεν, ὀφείλων, εἴπερ ἠδίκει, κολασθῆναι· οἱ δ' ἐπιβοήσαντες,

αἰδεῖσθαι θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα [a])

---

[1]) Ita Heyn. — Codd. ἐπείπομεν.

[2]) Ita cum Gal. MS. Angl. A et B.

[3]) Ita A et B. Schow. ἐπὶ.

[4]) Schow. et Codd. τοιαύτης.

[5]) Schow. et Codd. πολὺς δ'.

[6]) Ita A et B et hic et ubicumque vocabulum occurrit. Schow. θρυλλεῖται.

[a]) Il. Α. v. 23.

τῆς ἀγνωμοσύνης τοῦ μὴ πεπεισμένου γεγόνασι παράλωμα. Πλὴν ἔγωγε τὴν ὑπολελημμένην [1]) ἐν τοῖς ἔπεσιν ἀλήθειαν ἀκριβῶς διαθρήσας, οὐκ Ἀπόλλωνος ὀργὴν οἶμαι ταῦτα [2]), λοιμικῆς δὲ νόσου κακὸν, οὐ θεόπεμπτον, ἀλλ' αὐτόματον φθοράν, συστᾶσαν [3]) τότε καὶ πολλαχῇ, ὥστε καὶ μέχρι τῶν δεῦρο χρόνων ἐκνέμεσθαι τὸν ἀνθρώπινον βίον. ὅτι μὲν τοίνυν ὁ αὐτὸς Ἀπόλλων ἡλίῳ, καὶ θεὸς εἷς δυσὶν ὀνόμασι κοσμεῖται, σαφὲς ἡμῖν ἔκ τε τῶν μυστικῶν λόγων, οὓς αἱ ἀπόρρητοι τελεταὶ θεολογοῦσι, καὶ τὸ δημῶδες ἄνω καὶ κάτω θρυλούμενον [4]) · ἥλιος Ἀπόλλων, ὁ δέ γ' Ἀπόλλων ἥλιος [5]).

---

[1]) A et B ὑπολελημένην. Corrigatur, occasione arrepta, Hom. P. V. (Gal. p. 292) τί τούτων Ὁμήρῳ παραλέλειπται; leg. παραλέληπται.

[2]) Ita A et B. Schow. ταύτην.

[3]) Ita Schowius. — Codd. συστάντος. — Heyn. φθοράν, πάθους συστάντος.

[4]) Codd. καὶ τὸ δημῶδες — θρυλούμενον. Schow. ἐκ τοῦ δημώδους — θρυλλουμένου. Sed nihil omnino est mutandum, dummodo zeugma statuas, ita ut et τελεταί et τὸ δημῶδες ab eodem verbo θεολογοῦσι pendeant. — Versiculum esse, quae sequuntur:

ἥλιος Ἀπόλλων, ὁ δέ γ' Ἀπόλλων ἥλιος,

e particula γε, otiose ceteroquin addita, manifesto apparet.

[5]) Quem post has Heracliti alias libet Apollinis cognominum etymologias inspicere, evolvat ille Macrobii Saturnal. libri I. c. 17, atque satur conviva abibit. Cff. praeterea Eurip. Phaëth. fr. II. 11; Procl. Theol. VI. 12. 377; Serv. ad Virg. Georg. I. 1: Stoici dicunt non esse nisi unum Deum etc. Unde eundem Solem, eundem Liberum, eundem Apollinem vocant. V. Lobeck, Aglaoph. p. 84.

## CAPUT VII.

Ἠκρίβωται δ' ἡ περὶ τούτων ἀπόδειξις καὶ Ἀπολλοδώρῳ, περὶ πᾶσαν ἱστορίαν ἀνδρὶ δεινῷ· τοῦτ' [1] ἔγωγε τὴν ἐπὶ πλέον ἐξεργασίαν [2] καὶ ἀκαίρου λόγου περιττὸν ὑπερθήσομαι μῆκος· ἐκεῖνο δὲ, ὃ ἐκ τῆς ἡμετέρας εἰκασίας ἀναγκαῖον εἰπεῖν, οὐ παρήσω, δεικνὺς [3], ὅτι καὶ καθ' Ὅμηρον αὐτός [4] ἐστιν Ἀπόλλων καὶ ἥλιος. τοῦτο δὲ, εἰ λεπτῶς ἐθέλει [5] σκοπεῖν τις, ἐξ ἁπάντων εὑρήσει τῶν ἐπιθέτων γνώριμον ὄν [6]. Ἀμέλει Φοῖβον αὐτὸν εἴωθε συνεχῶς ὀνομάζειν, οὐ μὰ Δία οὐκ ἀπὸ Φοίβης, ἥν Λητοῦς φασὶν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι, τὰ δ' ἐκ μητέρων οὐκ ἂν εὕροι τις ὅλως παρ' αὐτῷ [7]. Φοῖβον οὖν, ἀπὸ τῶν ἀκτίνων λαμπρῶν [8] αὐτὸν ὀνομάζει, τὸ μόνον ἡλίῳ προςῆκον [9] ἐξ ἴσου κοινώσας Ἀπόλλωνι. Καὶ μὴν οὐδ' ἑκάεργον εἰκός [10] ἐστιν Ἑκαέργης ὁμω-

---

[1]) Schow. διὰ τοῦτ'.

[2]) Schow. ἐπὶ πλέον ἐπεργασίαν. — MS. Angl. ἐπιπλέον ἐξεργασίαν. — A et B. ἐπὶ πλέον ἐξεργασίας. Verum iam Heynius vidit.

[3]) A. δεινὸ.

[4]) Codd. αὐτός.

[5]) Fort. ἐθελήσει.

[6]) Codd. γνώριμον. Ἀμελεὶ κτὲ.

[7]) Cf. Apollon. Lex. i. v. Φοῖβος· Ὅμηρος οὐδέποτε ἀπὸ μητέρων κοσμεῖ τινάς, μήθ' ὅτι δὲ μάμμης, et Wassenbergh. in Hom. Schol. Emend. p. 151.

[8]) Codd. λαμπρὸν.

[9]) Codd. προςόν.

[10]) Desideratur voc. εἰκός in Cod. B.

νυμον εἶναι, τῆς ἐξ Ὑπερβορέων πρῶτον ἀπαρχὰς [1]) ἐπὶ Δῆλον ἐνεγκούσης, ἀλλ' ἔστιν ἐτύμως ἑκάεργος, ὁ τὰ [2]) ἕκαθεν ἐργαζόμενος, τουτέστιν ὁ ἥλιος, ὁ πόρρωθεν ἀφεστὼς τῆς ἡμετέρας γῆς, ὡρῶν ἐπετείων [3]) γεωργὸς εὐκαίρως ἐφίσταται, πνίγη [4]) χειμῶσιν ἀντιμετρῶν [5]), καὶ πλωτοῦ [6]) ἀρότου τε, καὶ σπορᾶς ἀμητοῦ τε, καὶ τῶν κατὰ γεωργίαν [7]) ἔργων αἴτιος ἀνθρώποις γενόμενος [8]). Λυκηγενῆ [9]) δὲ προςηγόρευσεν αὐτὸν, οὐχ

---

[1]) Cod. B. τῆς ἐξ Ὑπ. ἀπαρχὰς ἐπίδηλον ἐνεγκούσης. — Schow. τ. ἐξ Ὑ. ἀπαρχὰς ἐπὶ Δῆλον ἐνεγκούσης. At est in Codd. A et B lacuna inter Ὑπερβ. et ἀπαρχ., cui explendae ansam dedit Callim. Hymn. in Del. v. 292:

πρῶταί τοι τάδ' ἔνεικαν ἀπὸ ξανθῶν Ἀριμασπῶν
Οὖπίς τε Λοξώ τε, καὶ εὐαίων Ἑκαέργη.

[2]) Fort. del τά.

[3]) Cod. A et B. ὡρων ειων γεωργός. Schow. ἐπιγείων.

[4]) et [5]) Codd. τῇ γῇ χειμῶσιν ἀντιμετρῶν. — Schow. τῇ γῇ, ἀντιμετρῶν τὰ θέρη χειμῶσιν. Quod restitui, Badhamio debetur, inter Anglos huius aevi philologos facile ingeniosissimo. Quam enim emendationem per literas Cobetio indicaverat, ea pro utriusque viri humanitate uti mihi licuit. — Cf. Plat. Phil. p. 26. A: καὶ μὴν ἔν γε χειμῶσι καὶ πνίγεσι.

[6]) Codd. A. et B πρώτου. Ruhnk. πλοῦ. Fort. pro πλωτοῦ legendum est πλούτου, derivationis illius habito respectu, qua veteres πλοῦτος declinabant a πολύ et ἔτος et putabant esse quasi πλόετον, annum fertilem. Cui sententiae suffragatus est vel Valcken. in Lennepii Etym. Gr. (ed.Scheid.) p. 592.

[7]) A et B. γεωμορίαν.

[8]) Cf. Schol. Ven. Il. Δ. 101.

[9]) Ita Schol. Hom. — Codd. Λυκηγενέτην.

ὡς ἐν Λυκίᾳ γεγενημένον [a]). ἔξω γὰρ τῆς [1]) Ὁμηρικῆς ἀναγνώσεως οὗτος ὁ [2]) νεώτερος μῦθος· ἀλλ' ὥσπερ, οἶμαι, τὴν ἡμέραν ἠριγένειαν ὀνομάζει, τὴν τὸ ἦρ γεννῶσαν [3]), ὅπερ ἐστὶν [4]) ὄρθρον, οὕτω λυκηγενῆ [b]) προςηγόρευσε τὸν ἥλιον, ἐπειδὴ τοῦ κατὰ τὴν ὄρθριον [5]) ὥραν λυκαυγοῦς αὐτός ἐστιν αἴτιος [6]), ἢ ὅτι τὸν λυκάβαντα γεννᾷ, τουτέστι τὸν ἐνιαυτόν· ὅρος γὰρ ἐτησίου χρόνου διαδραμὼν ἥλιος ἐν μέρει τὰ δώδεκα ζώδια [7]). Καὶ μὴν [8]) χρυσάορον αὐτὸν ὠνόμασεν, οὐχ ὡς ὑπεζωσμένον χρυσοῦν ξίφος· ἀνοίκειον γὰρ Ἀπόλλωνι τὸ ὅπλον τοῦτο· [9]) τοξότης γὰρ ὁ θεός· ἀλλ' ἐπειδήπερ ἐξ ἀνατολῶν [10]) χρυσῷ μάλιστα τὸ φέγγος ὁραθὲν ἔοικεν, εὐ-

---

[1]) Codd. γὰρ οὖν τῆς. — Schol. γάρ ἐστι τῆς. Abundat et οὖν et ἐστί.

[2]) Ita A et B. Schow. οὗτος νεώτερος. Schol. ὁ νεώτερος οὗτος.

[3]) Schol. ἦρος γεννῶσαν.

[4]) Praestat fort. Schol. lectio τουτέστι τόν.

[5]) B. αἴθριον.

[6]) Fort. del. αὐτός, ut e dittographia natum.

[7]) Explicit Schol. Il. Δ 101. Incipit Schol. Il. Ε. 509. a vocabulo καί.

[8]) μήν deest apud Schol.

[9]) Schow. τὸ ὅπλον· οὐ τοξότης. A, B et Schol. τὸ ὅπλον. τοξότης. Mea recepta coniectura apparet, quomodo οὐ in textum potuerit irrepere.

[10]) Schol. ἀνατολῆς.

a) Cf. D'Orvill. Misc. Obs. VII. p. 35.

b) Cf. Hesych. i. v. ἠριγένεια· ἡ τὴν ἡμέραν γεννῶσα, et Schol. Il. Α. 477: ἠριγένεια, ἤτοι ἡ τὸν ὄρθρον γεννῶσα ἡμέρα ἢ ἡ ὑπὸ τοῦ ὄρθρου γεννωμένη.

ρέθη πρέπον ἐπίθετον τῷ ἡλίῳ 1) διὰ τὰς ἀκτῖνας τὸ χρυσάωρ 2). Ὅθεν, οἶμαι, κἂν τῇ θεομαχίᾳ Ποσειδῶνι 3) ἵσταται διαμιλλώμενος. αἰεὶ γὰρ ἄσπειστος 4) ἔχθρα πυρὶ καὶ ὕδατι, τῶν δύο στοιχείων ἐναντίαν πρὸς ἄλληλα φύσιν ἀποκεκληρωμένων· διὰ τοῦθ' ὁ Ποσειδῶν, ὑγρά τις 5) ὕλη, καὶ παρὰ 6) τὴν πόσιν οὕτως ὠνομασμένος 7), ἐξ ἀντιπάλου μάχεται ταῖς διαπύροις ἀκτῖσι τοῦ ἡλίου. πρὸς γὰρ Ἀπόλλωνα ποίαν Ποσειδῶν ἔχει πρόφασιν ἐξαίρετον ἀπεχθείας 8);

## CAPUT VIII

Ταῦτα τοίνυν εἰρήσεται, ἀνθ' ὅτου ποτὲ τὸν αὐτὸν 9) ἀπεφηνάμην ἥλιον Ἀπόλλωνι. καὶ τί πειρώμενος κατασκευάζειν; ὅτι αἱ λοιμικαὶ 10) νόσοι τὴν μεγίστην ἔχουσι

---

1) Schow. ἐπίθ. τῷ ἡλίῳ. Omisit Schol. vocabula ἐπίθ. τῷ. — A et B ἐπίθ. ἡλ.

2) Schow. ὁ Χρυσάωρ. Schol. τὸ Χρυσάορ.

3) Ita Schol. — Schow. Ποσειδάων.

4) Ita Pierson. Verisim. p. 253. Codd. ἄπιστος. Schol. ἄσπονδος.

5) Schow. τις ὤν, quod nec in A et B, nec apud Schol. exstat.

6) Ita Schow. e Gesneri coniectura, quae Codd. A et B lectione insuper confirmatur.

7) Schol. ὠνομασμένη.

8) Schow. e Codd. πρὸς γὰρ Ἀπόλλωνα ποιὰν ἔχει πρ. ἐξ. ἀπεχθ. — Schol. πρ. γ. Ἀπ. Ποσειδῶν ἔχει πρόφασιν ἐξ. ἀπ. Utraque in unum coniuncta lectione atque ποιὰν mutato in ποίαν scriptoris manum revocatam censeas. Explicit Schol. Il. *E.* 509.

9) Ita cum Galio Codd. A et B.

10) Codd. καὶ τί πειρώμενος κατασκευάζειν, αἱ λοιμικαί. Schow. νῦν δὲ καὶ πειράσομαι κατασκευάζειν, ὡς αἱ λοιμικαί.

τῆς φθορᾶς πρόφασιν [1]) τὸν ἥλιον· ὅταν μὲν γὰρ ἡ [2]) θέρειος αὐγὴ, μαλακὴ καὶ πραεῖα, δι' εὐκράτου τῆς ἀλέας ἡσυχῆ διαθάλπηται 3), σωτήριον ἀνθρώποις ἐπιμειδιᾷ φέγγος· αὐχμηρὰ δὲ καὶ διάπυρος ἐκκαεῖσα, νοσεροὺς ἀπὸ γῆς ἀτμοὺς ἐφέλκεται 4), κάμνοντα δὲ τὰ σώματα καὶ διὰ τὴν ἀήθη τοῦ περιέχοντος τροπὴν νοσοῦντα, λοιμικοῖς πάθεσιν ἀναλοῦται. 5) τῶν δ' ὀξέων συμφορῶν αἴτιον Ὅμηρος ὑπεστήσατο τὸν Ἀπόλλωνα, διαρρήδην τοῖς αἰφνιδίοις θανάτοις ἐπιγράφων τὸν θεόν. 6) φησὶ γάρ·

Ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν [a]).

Ἐπειδήπερ οὖν ἕνα 7) μὲν καὶ τὸν αὐτὸν ὑφίσταται τῷ Ἀπόλλωνι τὸν ἥλιον, ἐκ δὲ τοῦ ἡλίου τὰ τοιαῦτα τῶν παθημάτων συνίσταται, φυσικῶς ἐπέστησε τῷ λοιμῷ τὸν Ἀπόλλωνα καὶ ὅτι, καθ' ὃν καιρὸν συνέβαινε τοὺς Ἕλληνας ἐν τῷ λοιμῷ νοσεῖν [b]), θέρειος ἦν ὁ

---

Verum iam Gesnerus videtur sensisse, qui ita verterat: *Quorsum autem haec mihi spectant? ut ostendam, pestilentibus* etc.

[1]) Schow. *πρόφασιν πρὸς τὸν ἥλιον*. Coniicere posses *πρὸς τοῦ ἡλίου*. Sed omittitur praepositio in A et B.

[2]) Omittitur *ἡ* in B. — *ἢ* A.

[3]) Ita A et B. Schow. *διαθάλπεται*.

[4]) A. *ἀφέλκεται*.

[5]) Heyn. fort. *ἀναλύεται*.

[6]) Cf. Ael. H. An. VIII. 2. *ἑαυτὸν τοῖς ἀλλοτρίοις πόνοις ἐπιγράφειν*.

[7]) Ita cum Gal. MS. Angl. A et B. Gesn. *ἕν*.

[a]) Od. *O*. v. 410.

[b]) Cf. Plat. Phil. p. 45. a: *πότερον οὖν καὶ μείζους εἰσὶ.... περὶ τοὺς κάμνοντας ἐν ταῖς νόσοις;*

καιρός, ἤδη πειράσομαι διδάσκειν· ὥστε οὐκ ὀργὴν Ἀπόλλωνος, ἀλλ' αὐτόματον [1]) φθορὰν ἀέρος εἶναι τὸ συμβεβηκός. Αὐτίκα τῶν ἡμερῶν τὸ μῆκος, εἰς πλείστην ἀμετρίαν ἐκτεινόμενον, ἐλέγχει τὴν ἀκμὴν τοῦ θέρους·

ὅτε τ' ἤματα μακρὰ πέλονται [a]).

μία γὰρ ἀπὸ τῆς Ἀγαμέμνονος ἀριστείας ἐπὶ τὴν Ἀχιλλέως ἄνοπλον ἔξοδον [b]) ἡμέρα παρατείνεται, καὶ τὸ μεῖζον [2]), οὐδ' ὁλόκληρος·

Ἠέλιον δ' [3]) ἀκάμαντα βοῶπις πότνια Ἥρη
Πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι. [c])

χρεωκοπήσασα [4]) τῶν ὑπολειπομένων ὡρῶν οὐκ ὀλίγον, οἶμαι, μέρος.

## CAPUT IX.

*Αἱ δὲ μεταξὺ πράξεις εἰς ὀκτὼ ῥαψῳδίας μερίζονται* [d]).

---

[1]) B. αὐτομάτου.

[2]) Fort. τὸ μέγιστον.

[3]) Codd. γάρ, quod iam apud Schowium in δ' est correctum.

[4]) A et B χρεοκοπήσασα.

a) V. Od. Σ v. 367.

b) Excitat Valckenaerius Eustath. ad Il. Λ. p. 809. l. 40: ἕως τῆς τοῦ Πατρόκλου ἐξόδου. — p. 811. l. 7: ἡ ἔξοδος αὕτη — αἰτία τῷ Πατρόκλῳ θανάτου. — Il. Π p. 1098. l. 2: τήν τε τοῦ Πατρόκλου πτῶσιν καὶ τὴν τοῦ Ἀχιλλέως ἔξοδον εἰς μάχην. — Il. Υ p. 1267, l. 49 πάντα τεράστια ποιήσας ἐν τῇ τοῦ Ἀχιλλέως ἐξόδῳ.

c) Il. Σ. v. 239.

d) Il. Λ usque ad Il. Τ.

Καὶ πρώτη μὲν ἡ ἐν πεδιάδι [1]) μάχη, πολλὰς ἀνδραγαθίας ἑκατέρων ἐμπεριέχουσα· μετ' αὐτὴν δὲ ἡ παρὰ τοῖς ἑλληνικοῖς τείχεσι· καὶ τρίτην προςτίθημι τὴν ἐπὶ ναυσὶ μάχην ἄχρι [2]) τῆς ἀναιρέσεως [3]) Πατρόκλου, καὶ τῆς δι' ἐκεῖνον 'Αχιλλέως ἐξόδου· πλὴν ὅμως τὸν ἀριθμὸν, οὕτω πολὺν ὄντα [4]), τῶν ἔργων οὐκ ἄπιστον [5]) ἡ θέρειος ὥρα πεποίηκεν, αἵ τε νύκτες [6]) ἥκιστα χειμέριοι. Πῶς γὰρ [7]) ἂν κρύους Ἕκτωρ ἐτόλμησε [a]) ταῖς 'Αχαϊκαῖς ἐπινυκτερεῦσαι ναυσίν; Οὐδ' ἂν αὐλῶν συρίγγων τ' ἐνοπὴ [b]) διὰ τοῦ βαρβαρικοῦ στρατοῦ ἐπαννυχίζετο. [8]) στιβὰς γὰρ ἀλεεινὴ καὶ στρατόπεδα τοῖς πολεμοῦσι χειμῶνος εὐτρεπίζεται, τῶν δὲ ὑπαίθρων ἀγώνων ἐκτός εἰσιν. ὥστ' οὐκ ἂν Ἕκτωρ, τὴν πόλιν ἐκλιπὼν, ἐν ᾗ μετ' ἀσφαλείας διέτριβεν [c]), ἐλθὼν ἂν [9])

---

[1]) Schow. ἐπὶ δυάδι. — A ἐπὶ δϋάδϊ. — Gesn. ἐπὶ Ἴλου σήματι. — Heyn. et ante eum Valcken. ad Herod. p. 438 ἐν πεδιάδι. V. Bredow., Ep. Par. p. 255.

[2]) Ita A. et B. — Schow. ταῖς ἄχρι, quo innisus ἕως ἄχρι coniecerat.

[3]) Ita A et B. — Schow. τοῦ Πατρόκλου.

[4]) Aut del. οὕτω πολὺν ὄντα, aut leg. οὕτω πολλῶν τῶν ἔργων.

[5]) Ita A et B. Idem Schowius coniecerat, quum e libris ἄπιστος esset editum.

[6]) Ita legatur, interpunctione mutata. Schow. πεποίηκεν. αἵ τε νύκτες.

[7]) A et B πῶς ἄν. Iidem ἕκτ. ἐτόλμ. — Schow. ἐτόλμ. ἕκτ.

[8]) Codd. et Schow. ἐπανηγύριζετο. — Cf. Pind. Isthm. 3. 83 (Boeckh.)
φλὸξ παννυχίζει. De usu medii v. Lucian. dial. mer. 14. 1.

[9]) Fort. del. ἐλθὼν ἄν.

[a]) Il. Σ. v. 298 sqq. [b]) Il. K. v. 12. [c]) V. Il. Θ. v. 490.

ἐπὶ τῇ θαλάττῃ γυμνὰ τὰ στρατεύματα καθίδρυσε. Πῶς [a]) δὲ τῶν κατὰ συμμαχίαν ἐληλυθότων ἕκαστος οὕτω ῥιψοκίνδυνος ἂν ἦν [1]), ὡς παρ' ὥραν ἐφεδρεύειν τοῖς πολεμίοις, καὶ μάλιστα τῆς Ἴδης ὑπερκειμένης, ὄρους δυςχειμέρου, καὶ ῥεῖθρα ποταμῶν ἄπειρα [2]) πηγαζούσης. ἐκρήγνυται γὰρ ἀπὸ τῶν κατὰ μέρη λαγόνων·

Ῥῆσός θ' Ἑπτάπορός τε Κάρησός τε Ῥοδίος τε
Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος
Καὶ Σιμόεις. [b])

οἳ καὶ δίχα [3]) τῶν ἀπ' οὐρανοῦ φερομένων ὑετῶν ἱκανοὶ τὸ πεδίον ἦσαν ἐκλιμνάσαι. Φέρε δ' οὖν ὑπ' ἀναισθησίας [c]) τοὺς βαρβάρους τὸ ἀσύμφορον ἑλέσθαι ποιεῖν· ἀντὶ τίνος δ' οἱ πάντας φρονήσει διαφέροντες Ἕλληνες, ἐπιλεξάμενοι τοὺς ἀρίστους [4]), ἐπὶ τὴν κατασκοπὴν νύκτωρ ἀποπέμπουσι [d]), ἵν' ἐκ τοῦ κατορθῶσαι τί τηλικοῦτον [5]) ὠφεληθῶσιν, ὁπόση βλάβη διαμαρτόντων ἀπήν-

---

[1]) Schow. οὕτω ῥιψοκίνδυνος ἕκαστος ἦν. — A. et B. ἕκαστος οὕτω ῥιψοκίνδυνος ἦν. Inserui ἂν ante ἦν.

[2]) Excidit fortasse πλήθει aut ἀριθμῷ.

[3]) Codd. οἳ δίχα. Inserui καὶ ob Il. M vv. 25 et 26.

[4]) Quomodo in Codd. et Edd. exstant haec verba, sensu omnino carent. Ita enim legitur: φέρε δ' οὖν ὑπ' ἀναισθησίας τοὺς βαρβάρους τὸ ἀσύμφορον ἑλέσθαι, τί ποιεῖν ἀντὶ τινός· οἱ πάντα φρονήσει διαφέροντες Ἑλλ. κτέ. Quae quemadmodum disponenda esse iudicaverim, ex ipso textu apparet. Πάντα praeterea mutavi in πάντας. Cf. Pol. I, 88, 7 διαφέρειν τινὰ ὠμότητι.

[5]) Codd. τι τηλικοῦτον. Egregie Heynius τί τηλικοῦτον.

*a*) Fortasse respicit Il. *Θ* v. 497. *Schow.*

*b*) Il. *M.* v. 20. *c*) Il. *Σ.* v. 310.

*d*) Il. K. v. 205 sqq.

τα; νιφετὸς γὰρ εἷς, καὶ χειμερίων ὑδάτων ἐπομβρία ῥᾳδίως ἂν ἀμφοτέρους κατέκλυσεν· ἐγὼ μὲν γὰρ αὐτὴν νομίζω τὴν ἀπὸ τῆς πόλεως ἔξοδον ἐπὶ τὴν μάχην, οὐκ ἄλλου τινὸς εἶναι καιροῦ σημεῖον, ἢ θέρους. ἅπας γὰρ ἀναπαύεται πόλεμος ἐν χειμῶνι, καὶ τὴν [1]) πρὸς ἀλλήλους ἐκεχειρίαν ἄγουσιν, οὔθ' ὅπλα δυνάμενοι βαστάζειν, οὔτε τὰς πολεμικὰς ὑπηρεσίας φέρειν. πῶς γὰρ ἢ διῶξαι ῥᾴδιον, ἢ φυγεῖν; πῶς δ' ἂν αἱ χεῖρες εὔστοχα [2]) βάλλοιεν, ὑπὸ τοῦ κρύους δεδεμέναι; θέρει δ' ἐν [3]) τῷ μεσαιτάτῳ τὰ πλήθη τέτραπται πρὸς τὴν μάχην, καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ἀπ' οὐδεμιᾶς εἰκασίας, ἀλλ' ἐναργῶς σκεπτέον.

## CAPUT X.

Μετὰ γὰρ τὴν στρατηγικὴν [a]) Ἀγαμέμνονος διάπειραν, ἐξαναστάντες οἱ Ἕλληνες ἐπὶ τὰς ναῦς κατατρέχουσιν,

ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν. [b])

οὐ δήπου, [4]) κατὰ πρῷραν [5]) ἑστηκότων τῶν ἀνέμων, [6]) οὐδ' ἀπειλούσης τῆς θαλάττης· τίς γὰρ ἂν ἦν κυβερνή-

---

[1]) Fort. expungendum est τήν.

[2]) Codd. εὐστοχίᾳ. — εὔστοχα Bast., Ep. Crit. ad Boisson. p. 234; V. Boisson. ad Aristaen. p. 208.

[3]) Codd. δέ.

[4]) Codd. ἢ κατά. Priorem vocem eiiciendam esse censuit Schowius.

[5]) Codd. κατὰ πρῷραν ἐναντίων, quam vocem explicandi gratia postea additam esse demonstravit Pierson., Verisim. p. 63; cuius sententiam perperam repudiavit Heynius.

[6]) Codd. ἑστηκότων ἀνέμων.

[a]) Il. Β. 210 sqq. [b]) Il. Β. v. 154.

της ἐπὶ πρόδηλον οὕτω κίνδυνον ἐξιοῦσιν, ἄλλως τε μηδ' ὀλίγην [1]) περαιοῦσθαι μέλλουσιν αὐτοῖς θάλατταν; οὐ γὰρ εἰς Τένεδον ἀπῇρον, οὐδ' ἐπὶ Λέσβου καὶ Χίου [2]) παρευτρεπίζοντο τὸν πλοῦν· ἡ δ' Ἑλλὰς ἀπῴκιστο πόρρω, καὶ τὸ πέλαγος ἦν χαλεπὸν, ὃ καὶ θέρους ποτὲ πλέοντες [3]) ἐσφάλησαν. ἔτι τοίνυν φερομένων ἀπὸ τῆς ἐκκλησίας αὐτῶν ἐγείρεται δαψιλὴς κόνις·

τοὶ δ' ἀλαλητῷ
Νῆας ἔπ' ἐσσεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
Ἵστατ' ἀειρομένη. [a])

τίνι τρόπῳ τῆς γῆς ἔτι διάβροχον ἐχούσης τοὔδαφος; ἔν τε ταῖς ἐφεξῆς παρατάξεσιν [4]) εἴωθε συνεχῶς λέγειν,

Λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
Οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων. [b])

Τί δ' ἐπὶ τοῦ τετρωμένου Σαρπηδόνος; οὐ [5]) ῥιπὴ βόρειος [6])

Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν, [c])

ἀναψύξεως δεομένου τοῦ σώματος ἐν ἀέρι διαπύρῳ. καὶ πάλιν ἑτέρωθί που,

---

[1]) Ita cum Galii MS. Angl. A et B.
[2]) Heynius ἐπὶ Λέσβον καὶ Χῖον. Minus recte, ut videtur.
[3]) fort. ἐπιπλέοντες.
[4]) fort. πράξεσιν. V. supr. p. 17.
[5]) A et B. οὐ.
[6]) In loco Iliadis, de quo hic est sermo, non ῥιπὴ βόρειος legitur, sed πνοιὴ Βορέαο. Legitur ῥιπὴ Βορέαο e. g. Il. XV. 171.
[a]) Il. *B.* v. 149. [b]) Il. *E.* 503.
[c]) Il. *E.* v. 698.

*Δίψῃ καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο,* [a])

Καὶ

*Ἱδρῶ ἀπεψύχοντο, πίον τ', ἀκέοντό τε δίψαν.* [b])

ἅπερ ἐν χειμῶνι μὲν ἀμήχανα [1]) συμβῆναί τινι, θέρους δὲ μαχομένοις ἦν ἀλεξήματα. τί δεῖ τὰ πολλὰ μηκύνειν; σχεδὸν γὰρ ἀπόχρη, κἂν εἴ τι τῶν εἰρημένων ἓν ἀπεδείξαμεν [2]), ἐκφῆναι τοῦ ἔτους τὸν καιρόν·

*Καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι,*
*Καίετο δὲ λωτός τε ἰδὲ θρύον ἠδὲ κύπειρον.* [3])

## CAPUT XI.

Εἰ δὲ θέρος μὲν ὡμολόγηται [4]) κατ' ἐκεῖνον εἶναι τὸν χρόνον, αἱ δὲ νόσοι περὶ τὴν θέρειον ὥραν [5]) συνίστανται, τῶν δὲ λοιμικῶν παθημάτων προστάτης Ἀπόλλων, τί λοιπὸν, ἢ δοκεῖν τὸ συμβεβηκὸς οὐ θεοῦ μῆνιν, ἀλλὰ συντυχίαν ἀέρος γενέσθαι; σφόδρα γοῦν πιθανῶς Ἡρόδικος ἀποφαίνεται, μὴ δι' ὅλην [6]) τὴν δεκαετίαν ἐν Ἰλίῳ μεμενηκέναι τοὺς Ἕλληνας, ἀλλ' ἐπὶ τέλει τοῦ καθειμαρμένου χρόνου τῆς ἁλώσεως ἀνεληλυθέναι. [7]) Καὶ

---

[1]) fort. ἀμήχανον.

[2]) Ita Codd. praeter A, qui ἐναπεδείξαμεν uno tenore scriptum exhibet. Ita fortasse sententia est constituenda: κἂν εἰ τῶν εἰρημένων ἔτι ἓν ἀπεδείξαμεν, ἐκφῆναι τοῦ ἔτους τὸν καιρὸν, τό.

[3]) Il. Φ. v. 350, ubi in Vulgg. legitur λωτός τ' ἠδέ. *Schow.*

[4]) Codd. ὁμολογεῖται.

[5]) Ita Codd. A et B. Schow. περὶ τὴν ὥραν. Veram lectionem e Cod. A restituit Bast., Ep. Crit. ad Boiss. p. 109.

[6]) Ita Schow. — Codd. μηδ' ὅλην.

[7]) Codd. ἐληλυθέναι.

a) Il. Φ. v. 541.   b) Il. X. v. 2.

γὰρ ἦν ἄλογον εἰδότας ἐξ ὧν προεῖπεν ὁ Κάλχας, [a]) ὅτι τῷ δεκάτῳ πόλιν αἱρήσουσιν εὐρυάγυιαν, ἐπ' οὐδενὶ χρησίμῳ τοσούτων ἐτῶν ἀργίαν ἀναλίσκειν, ἀλλ' εἰκὸς ἐν τοῖς μεταξὺ καιροῖς περιπλέοντας ἄνω καὶ κάτω τὴν Ἀσίαν, ἅμα τάς τε πολεμιστηρίους ἀσκήσεις ὑπογυμνάζειν, καὶ λαφύρων τὸ στρατόπεδον ἐμπιμπλάναι [1]), τοῦ δεκάτου δ' ἐνστάντος ἔτους, ἐν ᾧ πεπρωμένον ἦν τὸ τῆς ἁλώσεως τέλος, ἀθρόους καταχθῆναι. κοῖλα δ' αὐτοὺς τενάγη καὶ τόπος ἑλώδης ἐξεδέχετο. Καὶ διὰ τοῦτο θέρους [2]) ἡ λοιμικὴ νόσος ἐγκατέσκηψε. [b])

## CAPUT XII.

Νῦν τοίνυν καὶ τὰ κατὰ μέρος εἰρημένα περὶ τῆς νόσου διασκεψώμεθα. σχεδὸν γὰρ ἅπαντα συνᾴδει [3]) τοῖς ὑφ' ἡμῶν λεγομένοις. καὶ πρῶτόν [4]) γε φυσικὴν ὑπεστήσατο τὴν φερομένην ἀπὸ τῶν οἰστῶν φωνήν. [5]) οὐ μὰ Δί', οὐ μυθικῶς βέλη φθεγγόμενα τερατευόμενος, [6]) ἀλλὰ

---

[1]) Codd. ἐμπιπλάναι.

[2]) Codd. θέρους ἐνστάντος, quod ex superioribus male hic est repetitum.

[3]) Ita cum Gal. Mss. Angl. Cod. B. — A συνάψει.

[4]) πρώτην A et B.

[5]) Videtur Valckenaerius, siquidem recte eius σημεῖα critica interpretor, indicare voluisse, omnia quae leguntur ab οὐ μὰ Δί' usque ad εἰσὶ γάρ εἰσί sine ulla perspicuitatis vel concinnitatis iactura posse omitti; in quo illi quis non assentietur?

[6]) Incipit hoc loco Schol. Il. *Α.* 46, quod Bredowius, ut potuit nisus Bekkeri scholiorum editione, cum textu contulit. At haesit Villoisonus in intricatis atque evanidis propemodum Codicis Veneti B.

[a]) Il. *Β.* v. 329. [b]) V. Thucyd. II. 47.

φιλόσοφός ἐστι θεωρία ἐν τῷ στίχῳ τῷ· [1])

Ἔκλαγξαν δ' ἄρ' ὀιστοὶ ἐπ' ὤμων χωομένοιο
Αὐτοῦ κινηθέντος. [a])

εἰσὶ γάρ, εἰσί τινες οὐράνιοι μεθ' ἁρμονίας ἐμμελοῦς [2]) ἦχοι, κατὰ τὴν αἴδιον [3]) φορὰν ἀποψαλλόμενοι, μάλιστα δὲ [4]) τῆς ἡλιακῆς περιόδου συντόνως φερομένης. οὐ γὰρ δήπου, εἰ ῥάβδῳ μὲν ὑγρᾷ πλήξας τις εἰκῇ τὸν ἀέρα, καὶ λίθον ἀπὸ σφενδόνης ἀφεὶς, ῥοίζους ἀποτελεῖ καὶ συριγμὸν οὕτω βαρύφθογγον, τηλικούτων σωμάτων ἡ κυκλοπόρος βία ἀπ' ἀνατολῆς εἰς δύσιν ἁρματηλατουμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ δρόμον. [5]) τούτους

---

literis, itaque scholii minorem tantum partem descripsit; multo maiorem partem e Codice in schedas suas retulit Cobetius, cuius collatione uti mihi licuit. Utraque collatio, usque quo procedat, postea indicabo.

[1]) Schol. φιλόσοφός ἐστι θεωρία ἐν τῷ στίχῳ τῷ. — Schow. ἀλλ' ἐστιν ἐν τῷ στίχῳ θεωρία φιλόσοφος.

[2]) Ita Schol. — Codd. ἐμμελεῖς.

[3]) Fortasse inter αἴδιον et φοράν inserendum est ἄστρων, ut illud μάλιστα δέ habeat, quo referatur.

[4]) Schol. μάλιστα τῆς.

[5]) Ita Scholiorum et Codd. indiciis innisus, locum lacerum et obscurum, quem Schowius imprudenter ut videtur explicare est conatus, resarciendum atque illustrandum esse censui. Qui vulgo sic edebatur: οὐ (Schol. εἰ) γὰρ δήπου ῥάβδῳ μὲν ὑγρᾷ πλήξας τις εἰκῇ τὸν ἀέρα, καὶ λίθον (Schol. λίθους) ἀπὸ σφενδόνης ἀφεὶς, ῥοίζους ἀποτελεῖ καὶ συριγμὸν (A. — μοὺς) οὕτω βαρύφθογγον (A — γοι)· τηλικούτων δὲ (om. in Schol.) σωμάτων ἡ κυκλοφόρος (κυκλοπόρος A, B et Schol.) βία δρόμοις ἀπ' ἀνατολῶν (Schol. ἀνατολῆς) εἰς δύσιν ἁρματηλατουμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ νόμον (Schol. δρόμον).

[a]) Il. Α. v. 46.

δὲ τοὺς διηνεκῶς ἐν οὐρανῷ [1]) τελουμένους φθόγγους ἀγνοοῦμεν, ἢ διὰ τὴν ἀπὸ πρώτης γονῆς συνήθειαν ἐνδελεχῶς ἐνοικοῦσαν ἡμῖν, ἢ διὰ τὴν ἄμετρον ὑπερβολὴν τοῦ διαστήματος, ἐκλυομένου τοῦ ψόφου τῷ διείργοντι μέτρῳ [2]) [a]). Καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ὁ φυγαδεύων Ὅμηρον ἐκ τῆς ἰδίας πολιτείας [3]) συγκαταινεῖ Πλάτων,

---

[1]) Schow. οὐρανῷ. — Schol. ἐν τῷ οὐρανῷ.

[2]) Ita Schol. — ἀμέτρῳ apud Schowium. — Cum scholiis concinnant A et B.

Explicit in hoc ipso vocabulo Bredowii cum Il. Schol. Venet. collatio.

[3]) Schol. πόλεως.

[a]) Cf. omnino Simplicius in Comm. ad Aristot. d. Coel. II, p. 113 ed. Aldinae (a. 1526): φανερὸν δὲ ἐκ τούτων, ὅτι καὶ τὸ φάναι γίνεσθαι φερομένων ἁρμονίαν, ὡς συμφώνων γενομένων τῶν ψόφων, κομψῶς μὲν εἴρηται καὶ περιττῶς ὑπὸ τῶν εἰπόντων· οὐ μὴν οὕτω γ' ἔχει τὸ ἀληθές· δοκεῖ γάρ τισιν ἀναγκαῖον εἶναι, τηλικούτων φερομένων σωμάτων γίγνεσθαι ψόφον· ἐπεὶ καὶ τῶν παρ' ἡμῖν, οὔτε τοὺς ὄγκους ἐχόντων ἴσους, οὔτε τοιούτῳ τάχει φερομένων ἡλίου τε καὶ σελήνης. ἔτι δὲ τοσούτων τὸ πλῆθος ἄστρων καὶ τὸ μέγεθος φερομένων τῷ τάχει τοιαύτην φορὰν, ἀδύνατον μὴ γίγνεσθαι ψόφον ἀμήχανόν τινα τὸ μέγεθος· ὑποθέμενοι δὲ ταῦτα καὶ τὰς ταχυτῆτας ἐκ τῶν ἀποστάσεων ἔχειν τοὺς τῶν συμφωνιῶν λόγους, ἐναρμόνιον γίγνεσθαί φασι τὴν φωνὴν, φερομένων κύκλῳ τῶν ἄστρων· ἐπεὶ δὲ ἄλογον ἐδόκει τὸ μὴ συνακούειν ἡμᾶς τῆς φωνῆς ταύτης, αἴτιον τούτους (leg. τούτου) φασὶν εἶναι τὸ γιγνομένης (leg. γιγνομένοις) εὐθὺς ὑπάρχειν τὸν ψόφον· ὥστε μὴ διάδηλον εἶναι πρὸς τὴν ἐναντίαν σιγήν· πρὸς ἄλληλα γὰρ σιγῆς καὶ φωνῆς εἶναι τὴν διάγνωσιν· ὥστε καθ' ἅπερ τοῖς χαλκοτύποις διὰ τὴν συνήθειαν οὐδὲν δοκεῖ διαφέρειν, καὶ τοῖς ἀνθρώποις τὸ αὐτὸ συμβῆναι.

οὕτω λέγων· [1]) Ἐπὶ [2]) δὲ τῶν κύκλων [3]) αὐτοῦ ἄνωθεν ἐφ' ἑκάστου βεβηκέναι Σειρῆνα συμπεριφερομένην, φωνὴν μίαν ἱεῖσαν ἀνάτονον. [4]) ἐκ [5]) πασῶν δ' ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν ξυμφωνεῖν. [6]) Ὁμοίως δὲ καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος [7]), ἐπεξελθὼν ὅπως κατὰ τάξιν οἱ πλάνητες ἀστέρες ὁδεύουσιν, ἐπάγει περὶ τῶν ἑκάστου φθόγγων·

---

[1]) Subit mirari, quod editores, multi in dogmate isto Platonico exponendo, et Platonis locum e Timaeo produxerint (p. 36. D) et Diogenem Laertium (III. 68; pag. 83, 49 ed. Cob.) excitaverint quin adeo Marsilium Ficinum in auxilium vocaverint subobscuro loco illustrando, nec tamen ipsa, quae ab Heraclito laudata erant, Platonis verba sedulo anquisiverint. Quae haud dubie et refingendo et explicando loco prae ceteris omnibus sunt idonea. Est autem locus ille Platonis in Republ. X. p. 617 B, unde vitiosam Codd. Scholiorumque lectionem correximus.

[2]) Schol. ὅτι. — Schow. in textu ἔτι.

[3]) Schol., A, B κύκλων. — Schow. in textu κύκλῳ.

[4]) Schow. φωνὴν ἱεῖσαν ἔνατον. — Codd. A et B φωνὴν μίαν ἱεῖσαν ἔνατον. — Schol. φωνὴν μίαν ἱεῖσαν ἑκάστην.

[5]) Codd. et Schol. ἁπασῶν.

[6]) Schol. ξυμφ. — Codd. συμφωνεῖν. Cf. maioris illius Alexandri Ephesii fragmenti, quod e Theonis opere inedito de astronomia primus publici iuris fecit Galeus in Additam. ad Parthen. p. 49 sqq., v. 25 et 26, receptis Schneideri et Naekii emendationibus:

τοίην τοι σειρῆνα Διὸς παῖς ἥρμοσεν Ἑρμῆς
ἑπτάτονον κίθαριν, θεομήτορος εἰκόνα κόσμου.

[7]) De Alexandro Ephesio, ob »nocturna fortasse viri laboriosi studia" Λύχνος appellato, scripserunt Fabric. Bibl. Gr. III. c. 19. 3.; Meineke, Analecta Alexandr. p. 371 sqq.; J. G. Hulleman, de Cornelio Alexandro Polyhistore p. 4.

Πάντες δ' ἑπτατόνοιο a) λύρης φθόγγοισι συνῳδοί b)
Ἁρμονίην προχέουσι c), διαστάσει d) ἄλλος ἐπ' e) ἄλλῃ 1)

ἐξ 2) ὧν ἂν εἴη γνώριμον, ὡς οὐ κωφὸς οὐδ' ἄφθογγός ἐστιν ὁ κόσμος.

## CAPUT XIII.

Ἀρχὴ 3) δὲ ταύτης τῆς δόξης Ὅμηρος 4), εἰπὼν τὰς

---

1) Egerunt de his versibus praeter modo nominatos Fabricius ad Chalcid. p. 307. f., Bredow. Epist. Paris. p. 255, Naeke, opusc. phil. I, p. 13, et Schneider. ad Vitruv. I. p. 22. Prodiit hoc ipso anno Theonis liber de Astronomia Parisiis, edente Th. H. Martino. Versus, qui ab Heraclito excitantur, eodem modo in Theonis textu exstant edita. De quibus egit Th. Bergkius in Martini editionis censura (Zeitschr. f. d. Alterthumsw. 1850. II. nº. 22 et 23). Cui alterius versus emendata lectio debetur. At vix ignoscas tanto viro, quod Heraclidem Ponticum nominet Allegoriarum Homericarum scriptorem. Eiusdem modo laudati diarii a. 1850 in fasciculo VI (nº. 63) Meinekius varias super istis Alexandri versibus proposuit lectiones, quae a Tischendorfio e Cod. Marciano CCIII excerptas ab Hermanno per epistolam illi fuerant indicatae. Quae Bergkii emendationes pulchre confirmant. Ea enim in versibus ab Heraclito laudatis apparet lectionis varietas: συνῳδοὶ ἁρμονίην στείχουσι, διαστάσει ἄλλος ἐπ' ἄλλῃ.

a) Schol. ἑπταπόνοιο. b) Schol. συνῳδοί. — Codd. συνῳδόν.

c) Ita Bredowius, Boisson. ad Marin. Vit. Procli p. 73, et Meinek. — Schow. παρέχουσι. — Hemsterh. στοιχοῦσι (cf. Hemsterh. ad Arist. Plut. v. 771).

d) Ita Bergkius Codd. διαστάς. — Schol. διάστασιν. — Hemsterh. διασταδόν.

e) Schol. ἐπ'. — Cod. Theon. Smyrn. ἐπ' ἄλλην. — Bergk. ἐπ' ἄλλῃ.

2) Codd. et Edd. δι' ὧν. 3) Schol. ἀρχήν.

4) Schol. Ὅμηρος παρέσχεν.

ἡλιακὰς ἀκτῖνας ἀλληγορικῶς βέλη 1), προςθεὶς δ', ὅτι φερόμεναι διὰ τοῦ ἀέρος ἔκλαγξαν ἡδεῖάν τινα καὶ ἔνθεον φωνήν. 2) τὰ κοινὰ δὲ τῶν φθόγγων παραστήσας, ἐπὶ τὸ ἴδιον εὐθὺς 3) τοῦ λόγου μετέβη, προςθείς·

Ὁ δ' ἤιε νυκτὶ ἐοικώς. a)

Οὐ γὰρ ἀκήρατον φῶς, οὐδ' ἀμιγὲς ἀχλύος μελαίνης ὑφίσταται τὸ τοῦ ἡλίου 4), νυκτὶ δ' αὐτὸ 5) ἐθόλωσεν, ὁποία σχεδὸν εἴωθεν ἐν τοῖς λοιμικοῖς πάθεσιν ἐπιπροσθεῖν τῷ δι' ἡμέρας φέγγει. 6) πῶς γε μὴν τοξάζειν ἐσπουδακὼς Ἀπόλλων

Ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, μετὰ δ' ἰὸν ἕηκεν·
Δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο; b)

Εἰ γοῦν 7) δι' ὀργὴν ἐτόξευεν, ἐγγὺς ἔδει τῶν τιτρωσκομένων 8) ἑστάναι τὸν βάλλοντα. νῦν δ' ἀλληγορῶν

---

1) Schol. βέλη ἀλληγ.

2) Schow. ἰδίαν ἔνθεόν τινα φωνήν. — Schol. ἤτοι ἡδεῖάν τινα καὶ ἔνθεον φωνὴν ἀπετέλεσαν. Codicum ἰδίαν ex sequentibus ortum arbitreris.

3) Schol. εὐθύ.

4) Schol. τὸ τοῦ ἡλίου ὑφίσταται.

5) Ita Heynius. — Codd. et Schol. αὐτόν.

6) In verbis disponendis secutus sum indicatam a Schowio rationem; cuius coniecturam, τῷ τῆς ἡμέρας pro τῷ δ' ἡμέρας legentis, Codd. A et B atque Schol. conspirans lectio δι' ἡμέρας reddit supervacaneam.

7) Ita Schol. — Codd. εἰ γὰρ οὖν.

8) Ita Schol. — Codd. τοῖς τιτρωσκομένοις.

a) Il. Α. v. 47. b) Il. Α. v. 48.

τὸν ἥλιον, εἰκότως ἄποθεν τὴν φορὰν τῆς λοιμικῆς ἀκτῖνος [1]) ὑπεστήσατο.

## CAPUT XIV.

Καὶ μὴν ἐναργέστατον ἐπιφέρει μετὰ [2]) τοῦτο σημεῖον εἰπών·

Οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς. [a])

οὐ γὰρ οὕτως ἄκριτον ἦν παρανάλωμα τῆς Ἀπόλλωνος ὀργῆς τὰ ἄλογα τῶν ζώων οὐδ' ἂν ὁ θυμὸς ἀφρόνως ἡμιόνοις ἐνήκμαζε [3]) καὶ κυσὶν, ὡς τὸ Θρᾳκικὸν ἀνδράποδον Ὁμήρου κατεξανίσταται, λέγω δὲ τὸν Ἀμφιπολίτην Ζωΐλον, ἄνω καὶ κάτω τοιούτους τινὰς λήρους φληναφοῦντα. Ὅμηρος δὲ καὶ σφόδρα φυσικῶς τὴν περὶ τὰ λοιμικὰ τῶν παθημάτων συντυχίαν διὰ τούτου [4]) παρίστησιν· οἱ γὰρ ἐμπειρίαν ἰατρικῆς τε καὶ φιλοσοφίας ἔχοντες [5]), δι' ἀκριβοῦς παρατηρήσεως ἔγνωσαν ἐν ταῖς λοιμικαῖς νόσοις τὸ δεινὸν ἀπὸ τῶν τετραπόδων ζῴων [6]) ἀρχόμενον. κατ' ἄμφω δ' ἡ πρόφασίς ἐστιν εὔλογος, ὥστ' εὐάλωτα πρὸς τὸ δεινὸν εἶναι· τῆς τε γὰρ διαίτης τὸ

---

[1]) Schow. ἄπωθεν (Cod. B. ἄποθεν) **αὐτοῦ** τὴν φορὰν τῆς λοιμικῆς ἀκτῖνος. Schol. αὐτοῦ τὴν φορὰν ἀπὸ τῆς λοιμικῆς ἀκτῖνος.

[2]) B. διά.

[3]) Schol. ἐνήκμαζε ἡμιόνοις τε.

[4]) Ita Codd. A et B. — Schow. et Schol. τούτων.

[5]) Dedi locum emendatum, ut exstat in Schol. Ven. Cod. B. — Codd. αἱ γὰρ ἐμπειρίαι ... ἔχουσαι. — Schow. coniecerat: αἱ γὰρ ἐμπειρίαι, ἰατρικῆς τι καὶ φιλοσοφίας ἔχουσαι.

[6]) Schol. τετραπόδων ἀρχόμενον.

*a*) Il. *A*. v. 50.

ἀκριβὲς οὐ [1]) θηρᾶται [2]), δι' ἣν ἀταμιεύτως σιτίων τε καὶ ποτῶν ἐμπιμπλάμενα [3]) διαφθείρεται, μηδενὸς λογισμοῦ τὴν ἐπὶ τὸ πλέον [4]) ὁρμὴν χαλινοῦντος. ἔπειθ', ὃ καὶ μᾶλλον ἀληθές [5]) ἐστιν, οἱ μὲν ἄνθρωποι μεταρσίοις ταῖς ἀναπνοαῖς τὸν καθαρώτερον [6]) ἕλκοντες ἀέρα, βραδύτερον ἁλίσκονται τῷ πάθει. Τὰ δ' ἐπὶ γῆς ἕρποντα [7]) ζῷα τοὺς νοσώδεις ἐκεῖθεν ἀτμοὺς εὐμαρέστερον ἕλκει. πάνυ γε μὴν ἀληθῶς οὐκ ἐν ἀρτίοις [8]) ἡμέραις τὴν ἀπαλλαγὴν τῆς νόσου δεδήλωκεν, ἀλλ' ἐν περιτταῖς.

'Εννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο. [a])

μάλιστα γὰρ ἐν τῇ παρ' ἕκαστα πείρᾳ γνώριμόν ἐστι τοῦθ', ὅτι κρίσιμοι τῶν σωματικῶν παθημάτων αἱ περιτταὶ γίγνονται τῶν ἡμερῶν. [9])

---

[1]) οὐ, quod in Codd. A et B deest, ut in reliquis, in Schol. additum est. Quod e coniectura iam Gesnerus restituerat.

[2]) Displicuit Bredowio vocabulum θηρᾶται; quod in τηρεῖται mutandum esse censuit Epist. Paris. p. 256. At vocabulum τηρεῖσθαι, media forma, ea, quae necessario requiritur, significatione, non invenitur; praeterea verbi θηρᾶσθαι usus ab hoc loco non tam videtur esse alienus, quam arbitratus est Bredowius. Cf. v. c. Herod. II. 77: ἐμέτοισι θηρώμενοι τὴν ὑγιείην καὶ κλύσμασι. [3]) Ita Schol. — Codd. πιμπλάμενα.

[4]) Ita Schol. — Codd. πλεῖον.

[5]) Schol. μᾶλλον ἀληθέστερον.

[6]) Ita Schol. — Codd. καθαρώτατον.

[7]) Ita cum Schol. Cod. B. — Schow. ἐρριμμένα.

[8]) Ita cum Schol. Codd. A et B. — Schow. ἀρτίαις.

[9]) Cf. Tzetz. Exeg. p. 104: Ἡφαιστίων ὁ Θηβαῖος καὶ 'Ιουλιανὸς ὁ μαθηματικὸς τὴν ί ἡμέραν φασὶ κρίσιμον εἶναι τῶν λοιμικῶν νοσημάτων.

a) Il. A. v. 53.

## CAPUT XV.

*Λυτὴρ δ' Ἀχιλλεὺς τῆς νόσου· Χείρων γάρ αὐτὸν ἐδίδαξε*, [a])

*δικαιότατος Κενταύρων*,

ὃς πάσῃ μὲν ἐκέκαστο σοφίᾳ, περιττὸς δ' ἦν τὴν ἰατρικὴν [1]), ὅθεν [2]) γνώριμον αὐτῷ φασὶν [3]) εἶναι καὶ Ἀσκληπιόν. [4]) προςέθηκε δ' Ἀχιλλεῖ θεραπεύοντι, φυσικῶς ἀλληγορήσας, θεὰν Ἥραν·

Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη. [b])

δύο γὰρ ὄντων κατὰ τοὺς φυσικοὺς τῶν πνευματικῶν στοιχείων, αἰθέρος τε καὶ ἀέρος, τὸν μὲν Δία, τὴν πυρώδη φαμὲν οὐσίαν. ἡ δὲ Ἥρα μετ' αὐτόν ἐστιν ἀὴρ [5]), μαλακώτερον στοιχεῖον, διὰ τοῦτο καὶ θῆλυ. τὰ δ' ἀκριβῆ περὶ τούτου διαλεξόμεθα μικρὸν ὕστερον. νῦν δ' ἀπόχρη τοσοῦτον εἰπεῖν, ὅτι τοῦ πάλαι θολεροῦ διαχυθέντος ἀέρος, αἰφνιδίως διεκρίθη τὸ σύμβαμα. [6]) οὐδὲ γὰρ ἀλό-

---

[1]) Schol. περιττῶς δὲ τῇ ἰατρικῇ.

[2]) Codd. et Schol. ὅπου.

[3]) Schol. φησίν.

[4]) Usque eo Scholion a Cobetio est descriptum. »Cetera", inquit, »non tanti sunt, ut vim oculis inferam."

[5]) Ita cum Manuscr. Angl. A et B. Vulgo legebatur: ἡ δὲ Ἥρα, μετ' αὐτὸν δὲ ἀήρ.

[6]) Restitui vocem Stoicis excogitatam atque saepenumero usitatam; cuius explicationem atque exempla invenies apud Interpp. ad Hesych. i. v. σύμβαμα. Hic instar omnium in censum veniat Lucia-

[a]) Respicit Il. *Λ.* v. 831. *Schow.* [b]) Il. *Α.* v. 55.

γως λευκώλενον εἶπε τὴν Ἥραν, ἀλλ' ἀπὸ τοῦ συμβεβηκότος, ὅτι τὴν [1] νυκτὶ προςεοικυῖαν ἀχλὺν ὁ λευκὸς ἀὴρ ἐπὶ τὸ καθαρώτερον ἐλάμπρυνεν. εἶτ' ἀνεθὲν τῆς νόσου τὸ Ἑλληνικὸν πλῆθος ἐπὶ τὴν [2] συνήθη τοῖς ἀπηλλαγμένοις ὁδὸν ἐτράπη· λέγω δὲ τοὺς ὀνομαζομένους ἀποτροπιασμούς [3] τε καὶ καθαρμούς·

Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον. [a])

## CAPUT XVI.

Δοκεῖ δέ μοι καὶ Ὀδυσσεὺς οὐδένα ἄλλον [4] ἢ τὸν ἥλιον ἱλάσκεσθαι, δι' ἧς προςηνέγκατο θυσίας. ἀμέλει

πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο,
Ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός. [b])

---

nus, Vit. Auct. XIV. 21 (Did.), cuius facetum hic liceat proponere locum: ΑΓΟΡ. Πρὸς τῆς σοφίας, μὴ φθονήσῃς κἂν τοῦτο εἰπεῖν, τί τὸ σύμβαμα καὶ τί τὸ παρασύμβαμα, καὶ γὰρ οὐκ οἶδ' ὅπως ἐπλήγην ὑπὸ τοῦ ῥυθμοῦ τῶν ὀνομάτων· ΧΡΥΣ. Ἀλλ' οὐδεὶς φθόνος· ἢν γάρ τις χωλὸς ὢν αὐτῷ ἐκείνῳ τῷ χωλῷ ποδὶ προςπταίσας λίθῳ τραῦμα ἐξ ἀφανοῦς λαβῇ, ὁ τοιοῦτος εἶχε μὲν δήπου σύμβαμα τὴν χωλείαν, τὸ τραῦμα δὲ παρασύμβαμα προςέλαβεν. Cf. Eustath. ad Il. p. 1396. 55. — Schow. τὸ συμβάν. — Heynius, aliud agens, ut videtur: »Vide an lateat τὸ σύμπαν vel ξύμπαν."

1) Ita A et B. — Schow. τῇ.

2) Ita A et B. — Schow. τόν.

3) Explicit in Cod. Vatic. 951 fragmentum Heracliti in vocabulo ἀποτροπιασμούς. Cetera perierunt.

4) Ita cum Manuscr. Angl. Cod. A. — Schow. οὐδὲν ἄλλο.

a) Il. Α. 314. b) Il. Α. v. 472 et 475.

πέρας γάρ ἐστι τῆς εὐσεβείας ἡ δύσις, ἕως ἀκούοντα καὶ βλέποντα τὸν θεὸν ἐτίμων· μηκέτι δ' αὐτοῦ τοῖς τελουμένοις παρεῖναι τὸ λοιπὸν δυναμένου, τὸ τῆς ἑορτῆς πέπαυται. Πρός γε μὴν βαθὺν τὸν ὄρθρον ἀναχθέντων, φησὶν ὁ ποιητής·

Τοῖσιν 1) δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων a),

2) τὸ περὶ τὸν ἥλιον ἐσπουδακῶς ἰδίωμα δηλοῦν. 3) ἄχρι γὰρ οὐδέπω φλογώδης, οὐδ' ἔμπυρος πρὸς 4) μεσημβρίαν ὁ 5) δρόμος αὐτοῦ νένευκεν, ἡ δροσώδης ἰκμάς, ὑγρὸν τὸ περιέχον ἀφεῖσα, ἀμυδρὰ καὶ νωθῆ παραπέμπεται τὰ πρὸς ἕω πνεύματα. διὰ τοῦτο το ὄρθριον 6) ὁ ἥλιος αὐτοὺς ἐναυστόλησεν, ἴκμενον 7) ἀποστείλας ἄνεμον, τὸν ἀπὸ τῆς ἰκμάδος b) πνέοντα. 8) τὴν μὲν οὖν πρώτην ἀλληγορίαν ἐπεδείξαμεν οὐ θυμὸν Ἀπόλλωνος ὀργισαμένου μάτην, ἀλλὰ φυσικῆς θεωρίας φιλοσοφοῦσαν 9) ἔννοιαν.

---

1) Schow. τοῖσι.

2) Cf. Schol. Il. A. 479, quod non solum in Cod. Lugdunensi, ut indicat Bekkerus, sed etiam in Cod. Ven. B exstat, sed a Villoisono est omissum. Praetervidit hoc scholion Bredowius.

3) In Cod. Ven. B lacunae signum post hoc vocabulum exstat.

4) Ita Schol. — Schow. ἐπί.

5) Deest articulus apud Schol.

6) Ita Schow. — Schol. ὄρθριον. Itaque legendum esse videtur ὄρθριος ὁ ἥλιος.

7) Ita Pierson. Verisim. p. 117. — Schow. et Schol. ἱκανόν.

8) Explicit Schol. Il. A. 479.     9) Fort. φιλόσοφον οὖσαν.

a) Il. *A*. v. 479.

b) Cf. alterum scholion ad Il. A. 479: ἴκμενον, ἤτοι πορευτικόν, παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὑγρόν, παρὰ τὴν ἰκμάδα. Cf. Hesych. i. v. Ἴκμενον et Interprett. ad h. l.

## CAPUT XVII.

Ἐφεξῆς δ' ἡμῖν σκεπτέον ὑπὲρ τῆς ἐφισταμένης Ἀθηνᾶς Ἀχιλλεῖ·

Ἕλκετο δ' ἐκ [1]) κολεοῖο μέγα ξίφος· ἦλθε δ' Ἀθήνη
Οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,
Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε.
Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα,
Οἴῳ φαινομένη· τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.
Θάμβησεν δ' Ἀχιλεὺς, μετὰ δ' ἐτράπετ' [2]), αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δεινὼ δέ οἱ ὄσσε φάανθεν. [a])

Τὸ μὲν γὰρ πρόχειρον ἐκ τῶν λεγομένων ἔστιν εἰπεῖν, ὅτι μεταξὺ τοῦ σπωμένου σιδήρου, ἡ θεὰ [3]), παντὸς ὀξυτέρα τάχους τὴν οὐράνιον ἐκλιποῦσα διατριβὴν, ἐμποδὼν ἔστη τῇ μιαιφονίᾳ, πάνυ γραφικῷ σχήματι τῆς κόμης ἀπρὶξ ὄπισθεν Ἀχιλλέως λαβομένη. λαμπρά γε μὴν καὶ λίαν φιλόσοφος ὑφεδρεύει τοῖς νοουμένοις κατ' ἀλληγορίαν ἐπιστήμη. πάλιν οὖν ὁ πρὸς Ὅμηρον ἀχάριστος [ἐν τῇ πολιτείᾳ] [4]) Πλάτων ἐλέγχεται διὰ τούτων τῶν ἐπῶν, τὸ περὶ τῆς ψυχῆς δόγμα νοσφισάμενος ἀπ' αὐτοῦ· τὴν γὰρ ὅλην ψυχὴν διῄρηκεν εἰς γένη δύο, τό τε λογικὸν καὶ τὸ ἄλογον ὑπ' αὐτοῦ προσαγορευόμε-

---

[1]) Ita Homeri editiones. — Schow. ἕλκε γὰρ ἐκ.

[2]) Ita Hom. edd. — Schow. δὲ τράπετ'.

[3]) Codd. θεά. — Heynius ἡ θεά.

[4]) Quae uncis inclusi, e superioribus repetita atque a male sedulo lectore videntur addita esse vocabula.

a) Vid. Il. *A*. v. 194 sqq.

νον [1]. Τοῦ δ' ἀλόγου μέρους εἰδικωτέραν [2]) ὑφίσταται διαίρεσιν, εἰς δύο μερίζων· καὶ τὸ μὲν ἐπιθυμητικὸν ὀνομάζει, τὸ δ' ἕτερον θυμοειδές· Καθάπερ [3]) δ' οἴκους τινὰς ἑκάστῳ μερίζει, καὶ διατριβὰς ἐν τῷ σώματι διανέμει [4])· τὸ μὲν οὖν λογικὸν τῆς ψυχῆς, ὡς [5]) ἀκρόπολίν τινα, τὴν ἀνωτάτω τῆς κεφαλῆς μοῖραν εἰληχέναι νομίζει, πᾶσι τοῖς αἰσθητηρίοις ἐν κύκλῳ δορυφορούμενον [6])· τοῦ δ' ἀλόγου μέρους ὁ μὲν θυμὸς οἰκεῖ περὶ τὴν καρδίαν, αἱ δὲ τῶν ἐπιθυμιῶν ὀρέξεις ἐν ἥπατι. Ταῦτα δ' ἀλληγορικῶς ἐν τῷ Φαίδρῳ προσωμοίωσεν ἵπποις τε καὶ ἡνιόχῳ, διαῤῥήδην λέγων· [7]) ὁ μὲν τοίνυν αὐτοῖν [8]) ἐν

---

[1]) Fort. προσαγορευόμενα.

[2]) Codd. Gesneri et Schowii ἰδιοτικωτέραν. — Cod. Vat. *A* ἰδικωτέραν, quod idem coniiciendo Heynius restituerat. Boisson. ad Nicet. Eugenian. III. 249 tuetur Heynii correctionem, atque in sequentibus aut καὶ καθάπερ aut καθάπερ δὲ legendum esse coniicit. At legas, ut omnia sint sana, εἰδικωτέραν, quod reponendum videtur, ubicumque istud ἰδικός et ἰδικώτερος in Graecorum scriptorum textibus aetatem tulit. De ι, η et ει, semper ac continuo a librariis inter se confusis, nil attinet copiosius disserere. At liceat uno eoque manifesto huius commutationis exemplorum molem insuper augere. Exstant haec vocabula apud Anonym. d. Incred. (p. 85 Gal.): τρίτην δὲ Ἤτωνος ἐν Θεσσαλίᾳ ὑπὸ Δευκαλίωνος τοῦ Προμηθέως, ubi pro Ἤτωνος legatur Ἴτωνος.

[3]) Cod. *A*. καὶ καθάπερ.

[4]) Codd. et Schow. διένειμε.

[5]) Cod. *A* ψυχῆς, ἀκρόπολιν.

[6]) Fort. δορυφορουμένην.

[7]) Locus est Platonis in Phaedro p. 253. D, cuius ad instar vitiosa hic illic ac lacera Heracliti verba refinxi.

[8]) Schow. αὐτῶν.

τῇ καλλίονι στάσει ὤν, τό τ' εἶδος ὀρθὸς, καὶ διηρθρωμένος, ὑψαύχην, ἐπίγρυπος, λευκὸς ἰδεῖν, μελανόμματος, τιμῆς ἐραστὴς 1) μετὰ σωφροσύνης τε καὶ αἰδοῦς, καὶ ἀληθινῆς 2) δόξης ἑταῖρος, ἄπληκτος, κελεύσματι μόνον καὶ λόγῳ 3) ἡνιοχεῖται. ταῦτα μὲν περὶ θατέρου μέρους τῆς ψυχῆς. περὶ δὲ τοῦ λοιποῦ φησίν· ὁ δ' αὖ σκολιὸς, πολὺς, εἰκῇ συμπεφορημένος, κρατεραύχην, βραχυτράχηλος 4), σιμοπρόσωπος, μελάγχρως 5), γλαυκόμματος, ὕφαιμος, ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος, περὶ ὦτα λάσιος 6), [ὑπό]κωφος 7), μάστιγι μετὰ κέντρων μόγις 8) ὑπείκων. τὸ μέντοι λογικὸν μέρος τῆς ψυχῆς, ὃ ἐν τῇ κεφαλῇ καθίδρυται 9), τῶν ὅλων πεποίηκεν ἡνίοχον, οὑτωσὶ λέγων 10)· ἐπὶ δὲ 11) τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ

1) Mutavi falsam, ut videtur quam Schowius adhibuerat, interpunctionem.

2) Desideratur in Heracliti Codd. vocabulum ἀληθινῆς.

3) H. Codd. καὶ λόγῳ μόνῳ.

4) H. Codd. πολυτράχηλος.

5) H. Codd. μελανόχρως.

6) H. Codd. περιωτάλσιος.

7) H. Codd. ὑπόκωφος. Quod fortasse satius erit, apud Platonem restituere, quam pellere ex Heracliti textu. Cf. Aristoph. Equ. 43.

8) Codd. κέντρου μόλις.

9) Codd. καθίδρυτο. — Cf. Diog. Laërt. III, 67.

10) Quum desiderares, quae deinceps in Phaedro, inde a pag. 254 de ἡνιόχῳ leguntur, sequitur iam locus e Plat. Timaeo, p. 90 A, ita ut haud temere coniicias, periisse hoc loco nunnulla librariorum incuria eadem, qua in maiore codicum parte in cap. 31 aliquot versus sunt obliterati.

11) A περὶ δέ.

δαίμονα θεὸς ἑκάστῳ δέδωκε [1]) τοῦτο, ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐν ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν, ὡς ὄντας φυτὸν οὐκ ἔγγειον [2]), ἀλλ' οὐράνιον.

## CAPUT XVIII.

Ταῦτα τοίνυν ὥςπερ ἐκ πηγῆς τῶν ὁμηρικῶν ἐπῶν εἰς τοὺς ἰδίους διαλόγους ὁ Πλάτων μετηρδευσεν [3]). Καὶ πρῶτόν γε περὶ τῶν ἀλόγων μερῶν τῆς ψυχῆς σκεπτέον· ὅτι μὲν γὰρ ὁ θυμὸς εἴληχε τὸν ὑποκάρδιον [4]) χῶρον, ὁ Ὀδυσσεὺς τοῦτο ποιήσει σαφὲς ἐν τῇ κατὰ μνηστήρων ὀργῇ, καθάπερ οἶκόν τινα τῆς μισοπονηρίας θυροκρουστῶν τὴν καρδίαν·

Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
Τέτλαθι δὴ κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης. [a])

Ἀφ' ἧς γὰρ αἱ θυμικαὶ [5]) ῥέουσι πηγαὶ, πρὸς ταυ-

---

[1]) δέδωκε, quod desiderabatur in Codd., e Platone addendum esse statuerat Schowius. At exstat in Cod. A. In iis, quae sequuntur, vulgo pro ἐν ἄκρῳ legebatur ἐπ' ἄκρῳ.

[2]) Codd. ἐπίγειον.

[3]) Simillimus est locus Longini, π. ὕ. Sect. 11: πάντων δὲ τούτων μάλιστα ὁ Πλάτων ἀπὸ τοῦ Ὁμηρικοῦ ἐκείνου νάματος εἰς αὑτὸν μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος.

[4]) Gesnerus περικάρδιον. Immo retineatur ὑποκάρδιον. Cf. Theocr. Id. XX, 17:

φέρω δ' ὑποκάρδιον ὀργάν.

[5]) A μυθικαὶ solemni errore. Ita v. c. in vita Homeri p. 321 (Gal.): ἁρπαγὴν δὲ ἅμα μυθικῶς καὶ ἰταμῶς πρασσομένην, λύκοις εἴκασεν, quo loco Valcken. ad Amm. p. 36 ὁρμητικῶς commendaverat, haud dubie legendum est θυμικῶς.

a) V. Od. Υ. v. 17.

την ὁ λόγος ἀποκλίνει [1]· τόν γε μὴν Τιτυὸν ἐρασθέντα τῶν Διὸς γάμων, ἀφ' οὗ μέρους ἤρξατο νοσεῖν [2]), εἰς τοῦτο [3]) ὑφίσταται κολαζόμενον·

*Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον.* [a])

Ἀντὶ τίνος, Ὅμηρε;

*Λητὼ γὰρ ἥλκησε* [4]), *Διὸς κυδρὴν παράκοιτιν.* [b])

Ὥσπερ γὰρ [5]) οἱ νομοθέται τοὺς πατροτύπτας χειροκοποῦσι, τὸ δυσσεβῆσαν αὐτῶν μέρος ἐξαιρέτως ἀποτέμνοντες, οὕτως Ὅμηρος ἐν ἥπατι κολάζει τὸν δι' ἧπαρ ἀσεβήσαντα. περὶ μὲν δὴ τῶν ἀλόγων τῆς ψυχῆς μερῶν οὑτωσὶ πεφιλοσόφηκεν.

---

[1]) Ita Wyttenbach. ad Plat. Phaed. p. 247. — Codd. et Schow. ἀποκλίνων.

[2]) Codices omnes νοσεῖν. Legas νοσεῖν, quod de amore saepenumero Graecis scriptoribus fuisse usurpatum, quis nescit? Cf. v. c. Soph. Trach. 544, cui loco, miserrime habito, arrepta occasione, medicam pro viribus manum adhibebo. Ita enim legendum esse coniicio vv. 550 et 551:

> ταῦτ' οὖν φοβοῦμαι, μὴ πόσις μὲν Ἡρακλῆς
> ἐμὸς κεκλῆται (vulg. καλεῖται), τῆς νεωτέρας δ' ἄρ' ᾖ (vulg. ἀνήρ).

De superioribus versibus (548 et 49), item, si quid video, foedissime corruptis, alio fortasse loco agere licebit. — Cf. Aristoph. Thesm. 1116; Platon. Phaedr. p. 231 D et p. 236 B; d. Legg. IX. p. 862 C; Dorvill. ad Chariton. p. 266.

[3]) Paullo infra idem Heraclitus: ἐν ἥπατι κολάζει.

[4]) Codd. εἵλκυσε.

[5]) Codd. δέ.

*a*) V. Odyss. Λ. v. 578.

*b*) V. Odyss. Λ. v. 580.

## CAPUT XIX.

*Λοιπὸν οὖν καταλείπεται* [1]) *ζητεῖν, ἐν ᾧ τόπῳ τὸ λογικὸν ἵδρυται μέρος. ἔστι τοίνυν ἡ κεφαλὴ καθ' Ὅμηρον ἐν τῷ σώματι τὴν κυριωτάτην εἰληχυῖα τάξιν ὅλον οὖν* [2]) *εἴωθεν ὀνομάζειν τὸν ἄνθρωπον, ἐξαιρέτως ἀφ' ἑνὸς τοῦ κρατίστου τὰ λοιπὰ δηλῶν,*

> *Τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχεν,* [3])
> *Αἴανθ'.* [a])

*καὶ σαφέστερον ἔτι ἐπὶ* [4]) *τοῦ Νέστορος ἵππου, κυριώτατον ἀποφαίνεται τοῦτο τὸ μέρος·*

> *ὅθι τε* [5]) *πρῶται τρίχες ἵππων*
> *Κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν* [b]).

*ταύτην δὲ τὴν δόξαν ἀλληγορικῶς βεβαιῶν, τὰ κατὰ τὴν Ἀθηνᾶν ἡμῖν παραδέδωκεν. ἐπειδὴ γὰρ ὁ Ἀχιλλεὺς, ὑπόπλεως ὀργῆς γενόμενος, ὥρμησεν ἐπὶ τὸν σίδηρον, ἐπισκοτουμένου τοῦ κατὰ τὴν κεφαλὴν λογισμοῦ τοῖς περὶ* [6]) *τὰ στέρνα θυμοῖς, κατ' ὀλίγον ἐκ τῆς ἀγανακτούσης μέθης ὁ νοῦς ἐπὶ τὸ βέλτιον ἀνένηψεν. ἡ δὲ σὺν φρονήσει μετάνοια δικαίως ἐν τοῖς ποιήμασιν Ἀθηνᾶ*

---

1) Aut **λοιπὸν** aut **καταλείπεται** diceres abundare.
2) Fort. inserendum est **οὕτως** inter **οὖν** et **εἴωθεν**.
3) Cod. *A* **κατέσχε τόν**.
4) Codd. **σαφέστερον ἐπὶ τοῦ**.
5) Codd. **ὅθι ταί**.
6) fort. *ὑπὸ τὰ στέρνα.*
a) V. Odyss. *Λ.* v. 549. b) Il. *Θ.* v. 83.

ὀνομάζεται. [1]) σχεδὸν γάρ ἡ θεός, οὐκ ἄλλου τινὸς ἢ συνέσεως ἐπώνυμός ἐστιν, ἀθρηνᾶ [2]) τις οὖσα, καὶ πάντα τοῖς λεπτοτάτοις ὄμμασι τῶν λογισμῶν διαθροῦσα· διὸ δὴ καὶ παρθένον αὐτὴν ἐτήρησαν [3]) ἄφθορον γὰρ ἀεὶ τὸ φρόνημα, οὐδεμιᾷ κηλῖδι μιανθῆναι δυνάμενον, ἔκ τε τῆς τοῦ Διὸς κεφαλῆς γεγενῆσθαι [4]) δοκεῖ· τοῦτον γὰρ ἀπεφηνάμεθα τὸν χῶρον ἰδίως λογισμῶν εἶναι μητέρα.

---

[1]) Codd. νομίζεται. Quod vitium passim in scriptoribus Graecis licet deprehendere atque tollere. Nil enim frequentius, quam verborum νομίζω, ὀνομάζω, ὄμνυμι formarum confusio. Cff. v. c. Arist. Nub. 847:

φέρ' ἴδω, σὺ τοῦτον τίνα νομίζεις; εἰπέ μοι·

leg. ὀνομάζεις. Zenob. Cent. II. 67 (Paroemiogr. Gr. edd. Schneidew. et Leutsch. p. 50): τούτῳ δὲ Ἠλεῖοι, πρὸς Καλυδωνίους διαφερόμενοι, ἐπέτρεψαν τὴν δίκην, νομίσαντες ἀναμένειν, ἕως ἂν ἀποφήνηται. leg. ὀμόσαντες ἀναμενεῖν.

[2]) Cf. Schol. Il. A. 195: ἐτυμολογεῖται δ' ἡ Ἀθηνᾶ ἀπὸ τοῦ ἀθρεῖν πάντα, ἤτοι Ἀθρηνᾶ τις οὖσα κτέ. — Cod. A Ἀθηνᾶ τις.

[3]) fort διὸ δὴ καὶ παρθενίαν αὐτῇ ἐτήρησεν. Cf. Eratosth. Catast. 31 (p. 125. G.): ... εὐλαβηθεῖσα ἐκείνη ἔφυγε πρὸς τὸν Ἄτλαντα, διατηρῆσαι τὴν παρθενίαν σπεύδουσα· ὡς δὲ καὶ αἱ πλεῖσται Νηρηΐδες ἐκρύπτοντο, κεκρυμμένης ἐκείνης, πολλοὺς ὁ Ποσειδῶν ἐξέπεμψε μνηστῆρας, ἐν οἷς καὶ τὸν Δελφῖνα. Quo loco pro μνηστῆρας legendum esse μαστῆρας et ipse conieceram, priusquam iamdudum ita correctum esse noveram a Koenio (Valcken.) ad Greg. Cor. p. 210. At mihi, quum ita emendarem, recens lectus animo obversabatur Parthenii locus, Erot. p. 298 ed. Mein.: Ἁρπασθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν, ὁ πατὴρ αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλλους καθῆκε κτέ.

[4]) Codd. A. γεγεννῆσθαι.

## CAPUT XX.

*Καὶ τί δεῖ τὰ πολλὰ μηκύνειν; οὐδὲν, ἢ τελέως φρόνησις αὕτη· τοιγαροῦν ἐπὶ* [1]) *τῶν διαφλεξάντων Ἀχιλλέα θυμῶν, ὥσπερ τι σβεστήριον κακοῦ φάρμακον ἐπέστη*

*ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.* [a])

*παρ' ὃν μὲν γὰρ ὀργίζεται καιρὸν, ἐν τοῖς στέρνοις ὁ θυμὸς ἕστηκεν· ἕλκων γὰρ τὸ ξίφος,*

*Στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν.* [b])

*Ἡνίκα δ' ἡ ὀργὴ πέπειρα γίνεται, μετειλήφασί* [2]) *τ' αὐτὸν* [3]), *οἷα μετανοοῦντα ἤδη, λογισμοὶ, τῆς κεφαλῆς ἀπρὶξ ἡ φρόνησις εἴληπται. Θάμβησεν δ' Ἀχιλεὺς, τὸ πρὸς πάντα κίνδυνον ἀτρεμὲς αὐτοῦ καὶ ἀκατάπληκτον ὁρῶν, καὶ ἐφοβήθη τὴν ἐκ λογισμῶν μετάνοιαν.* [4]) *ἐπι-*

---

[1]) Codd. *ἀπό.* At cf. v. c. Plat. Rep. V. 460. B. *αἱ ἐπὶ τούτων ἐφεστηκυῖαι ἀρχαί.*

[2]) *μετειλήχασι*, quod est in codicibus, ab huius loci sensu est alienum. Significat enim participem fieri. De quo v. Hemsterh. et Ruhnken. ad Tim. i. v. *μεταλαγχάνειν.* Quod restitui, *μεταλαμβάνειν*, solemne est vocabulum de iis, qui alteri cuidam in imperio succedunt. Cf. Polyb. V. 40, VI. 4 et passim. Quae significatio huic loco egregie convenit. Etenim in Achille *μετειλήφασιν οἱ λογισμοὶ τὴν τῆς ὀργῆς ἀρχήν.* Nec est, cur apud Heraclitum eiusdem verbi in eadem sententia repetitio scrupulum nobis iniiciat.

[3]) Codd. *δ' αὐτό* aut *δ' αὐτόν.*

[4]) *μετάνοιαν* est in Cod. A. — *Gesner: Θαμβ. δ' Ἀχιλλεὺς· τὸ πρὸς π. κινδ. ἀτρ. αὐτοῦ κ. ἀκαταπλ. ἐφοβήθη, τὴν ἐκ λογ.*

*a*) V. Il. *Α.* v. 197. *b*) V. Il. *Α.* v. 189.

γνοὺς δ' εἰς οἷον κακὸν προκυλισθῆναι ἔμελλεν, ὡς ἡνίοχον εὐλαβήθη τὸν ἐφεστῶτα νοῦν· ὅθεν οὐδὲ παντελῶς ἀπήλλακται τῆς ὀργῆς. ἐπιφέρει γοῦν·

Ἀλλ' ἤτοι ἔπεσιν [1]) μὲν ὀνείδισον, ὡς ἔσεταί περ. [a])

θεὰ μὲν οὖν βοηθοῦσα πάντως ἂν ὁλόκληρον εἰρήνην τοῦ πάθους κατεσκεύασεν. ἐπειδὴ δὲ λογισμὸς ἀνθρώπινος ἦν, τὸ ξίφος ἀνεῖρξεν ἀναγκαίως [2]), καὶ τὸ μὲν ἄχρι τῶν ἔργων τολμηρὸν ἐκκέκοπται· ὑπομένει δ' ἔτι λείψανα τῆς ὀργῆς· οὐ γὰρ ἀθρόοι [3]) ὑφ' ἕνα καιρὸν οἱ μεγάλοι θυμοὶ τῶν παθῶν ἀποκόπτονται. καὶ τὰ μὲν περὶ Ἀθηνᾶς, ἣν μεσῖτιν ὑπεστήσατο τοῦ πρὸς Ἀγαμέμνονα θυμοῦ, ταύτης τῆς ἀλληγορίας [4]) ἀξιούσθω.

## CAPUT XXI.

Βαρύτατον δ' ἔγκλημα κατὰ Ὁμήρου, καὶ πάσης

---

διάνοιαν ὁρῶν. — Schow. Θαμβ. δ' Ἀχιλλ.· τὸ πρ. π. κίνδ. ἀτρ. αὐτοῦ κ. ἀκατ. [ὁρῶν] ἐφοβήθη τὴν ἔξω λογισμῶν οὖσαν ἄνοιαν.

[1]) Codd. ἔπεσι.

[2]) Friget istud ἀναγκαίως. Cui, facili sane mutatione, fortasse substituendum est ἀγανακτῶν.

[3]) Cod. A ἀθρόως. — Schow. ἀθρόον.

[4]) Ita Schowius. — Codd. αὐτῆς ἀλληγορίας. Cf. Amphis ap. Athen. VI. 224. D.

Πρὸς τοὺς στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις
μοίραις προσελθόντ' ἀξιωθῆναι λόγου,
λαβεῖν τ' ἀπόκρισιν, ὧν ἂν ἐπερωτᾷ τις, ἢ
πρὸς τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ.

a) Il. Α. v. 211.

καταδίκης ἄξιον, εἴπερ ἄρα μεμύθευκεν, ὡς ἐν τοῖς ἐφεξῆς ἐστιν, εὗρον, ὅτι [1]) τὸν ἁπάντων ἡγεμόνα

ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη.
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
Ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων'· ὁ γὰρ αὖτε βίη οὗ πατρὸς ἀμείνων [a]).

Ἐν τούτοις τοῖς στίχοις ἄξιός ἐστιν Ὅμηρος οὐκ ἐκ μιᾶς τῆς Πλάτωνος ἐλαύνεσθαι πολιτείας, ἀλλ' ὑπὲρ Ἡρακλέους, φασίν, ἐσχάτας στήλας, [καὶ τὴν ἄβατον Ὠκεανοῦ θάλασσαν] [2]). Ζεὺς γὰρ ὀλίγου δεσμῶν πεπει-

---

[1]) Vulgo ita haec vocabula erant edita: Βαρύτατον δ' ἔγκλημα κατὰ Ὁμήρου . . . . ὡς ἐν τοῖς ἐφεξῆς ἔνεστιν εὑρεῖν· ὅτε τὸν κτέ. In Galii MSS. Angl. extrema vocabula ita audiebant: ὅτι τῶν ἁπάντ. — Cod. A. ὅτε τῶν exhibet. — At inconcinne ac nullo intercedente vinculo vocabula iuxta se sunt posita; ἔνεστιν εὑρεῖν »est invenire", ea ratione usurpatum, qua nos uti ista locutione consuevimus, a Graecis est quam alienissimum. Falso omnino explicuerunt atque verterunt interpretes particulas εἴπερ ἄρα. Vocabulis, quemadmodum mihi sunt disposita, ea subest sententia: »Gravissimam vero Homero incriminationem, atque omnino damnandam (siquidem μεμύθευκε [quod vocabulum ab Heraclito saepissime opponitur τῷ ἀλληγορεῖν], sicut in iis exstat, quae deinceps sequuntur) eam excogitaverunt, quod etc.

[2]) Quid sit ὑπὲρ τὴν Ὠκεανοῦ θάλασσαν, haud ita est manifestum; neque feliciter excogitatum epithetum mari τὸ ἄβατον, neque liquet, quid sit Ὠκεανοῦ θάλασσα. Solebant Herculis columnas tamquam extremum τέρμα τῆς οἰκουμένης considerare. Cff. Plat. Phaed. p. 109. B et Wyttenbach. ad h. l. (p. 304), Bre-

[a]) V. Il. A. v. 399 sqq.

ραται, καὶ τὴν ἐπιβουλὴν αὐτῷ συνιστᾶσιν οὐχ οἱ Τιτᾶνες, οὐδὲ τὸ κατὰ Παλλήνην θράσος Γιγάντων [a], ἀλλ' Ἥρα [1], διπλοῦν ὄνομα, φύσεως καὶ συμβιώσεως, ὅ τ' ἀδελφὸς Ποσειδῶν, ἐξ ἴσου νεμηθεὶς [2] ἅπαντα, καὶ οὐχὶ τοῦ διαμαρτεῖν, ἧς ὤφειλε τιμῆς ἠξιῶσθαι [3], κατὰ τοῦ πλεονεκτήσαντος ἠγανακτηκώς· τρίτη δ' Ἀθηνᾶ, διὰ μιᾶς ἐπιβουλῆς εἰς πατέρα καὶ μητέρα δυσσεβοῦσα. νομίζω δ' ἔγωγε τῆς ἐπιβουλῆς Διὶ τὴν σωτηρίαν ἀπρεπεστέραν· Θέτις γὰρ αὐτὸν ἀπήλλαξε τῶν δεσμῶν, καὶ Βριάρεως. ἀπρεπεῖς δ' αἱ τοιαῦται ἐλπίδες, ὡς τοιούτων δεηθῆναι συμμάχων [4].

---

dow. Ep. Paris. p. 157, Meinek., Anall. Alex. p. 156. Hac significatione Ἡρακλέους στῆλαι in proverbium abierunt, cuius explicandi causa vocabula ista εἰς (ita enim leg. pro καὶ) ἄβατον ὠκεανοῦ θάλασσαν addita esse existimes.

[1]) Ab ipso Heraclito hoc videtur vitium profectum esse, σολοίκως passivo uso, quum medii forma νειμάμενος requireretur.

[2]) Cf. Soph. Antig. 53:

Ἔπειτα μήτηρ, καὶ γυνή, διπλοῦν ἔπος,

et Schol. ad h. l. διπλοῦν ὄνομα ἔχουσα, μήτηρ τε καὶ γυνή. — Heracliti locum una cum aliis nonnullis consimilibus excitat Valcken. ad Eur. Phoen. 415, p. 153.

[3]) Ita Cod. A. — Schow. ἀξιοῦσθαι.

[4]) Nullus de ἐλπίσι potest esse sermo. Quae post ἐλπίδες additur sententia, cum iis, quae praecedunt, concinnari omnino nequit. Quid scribere debuerit ac voluerit Heraclitus in aprico est. Cuius sententia e corruptis verbis hunc fortasse in modum potest elici: ἀπρεπὲς δ' εἰ τοσοῦτον ἐλείπετο, ὡς κτέ. »Turpe autem fuit, si eo usque erat oppressus, ut huiusmodi sociis egeret."

a) Cf. Scymn. Ch. v. 636:

ταύτην δέ, Φλέγραν τὸ πρότερον καλουμένην,
τοὺς θεομάχους γίγαντας οἰκῆσαι λόγος.

## CAPUT XXII.

Ταύτης τοίνυν τῆς ἀσεβείας ἓν ἐστιν ἀντιφάρμακον, ἐὰν ἐπιδείξωμεν ἠλληγορημένον τὸν μῦθον· ἡ γὰρ ἀρχέγονος ἁπάντων καὶ πρεσβυτάτη [1]) φύσις ἐν τούτοις τοῖς ἔπεσι θεολογεῖται, καὶ τῶν φυσικῶν κατὰ τὰ [2]) στοιχεῖα δογμάτων εἷς ἀρχηγὸς Ὅμηρος, ἑκάστῳ τινὶ [3]) τῶν μετ' αὐτὸν, ἧς ἔδοξεν εὑρεῖν, ἐπινοίας γεγονὼς διδάσκαλος [4]). Θάλητα μέν γε τὸν Μιλήσιον ὁμολογοῦσι πρῶτον ὑποστήσασθαι τῶν ὅλων κοσμόγονον στοιχεῖον τὸ ὕδωρ· ἡ γὰρ ὑγρὰ [5]) φύσις, εὐμαρῶς εἰς ἕκαστα μεταπλαττομένη, πρὸς τὸ ποικίλον εἴωθε μορφοῦσθαι [6]). Τό

[1]) Codd. πρεσβυτέρα.

[2]) Ita Cod. A. — Schow. κατὰ στοιχεῖα.

[3]) Ita Cod. A. — Schow. τοίνυν.

[4]) V. Senec. Ep. 88: *Modo Stoicum Homerum faciunt, modo Epicureum — modo Peripateticum — modo Academicum. Apparet nihil horum esse in illo, cui omnia insunt;* et cf. omnino Hom. P. V. p. 324 Gal.

[5]) ὑγρά e Gal. MS. Angl. et e Cod. A reposui.

[6]) Potest quidem significare verbum μορφοῦσθαι *speciem aliquam induere*, unde substantivum μορφώ (v. Archyt. Phil. ap. Stob. Ecl. Phys. p. 81. 12), Μορφώ Dea apud Pausaniam et Hesychium, quique seriore tempore effingebatur somniorum Deus Μορφεύς. Nec tamen intelligo, quomodo »varias formas induere" Graece possit esse: μορφοῦσθαι πρὸς τὸ ποικίλον. Aut egregie fallor, aut scripsit Heraclitus: ἡ γὰρ ὑγρὰ φύσις .... Πρωτέως ποικιλώτερον εἴωθε μορφοῦσθαι. Cf. Lucian. d. Sacrif. 5: ἄρτι μὲν ὁ γεννάδας γιγνόμενος χρυσίον, ἄρτι δὲ ταῦρος ἢ κύκνος ἢ ἀετός, καὶ ὅλως ποικιλώτερος αὐτοῦ Πρωτέως. — Aristaen. I, ep. 26: καὶ οἷά τις Φάριος Πρωτεὺς ἄλλοτε πρὸς ἄλλα μεταβεβλῆσθαι δοκεῖς. — Lucian. d. Saltat. 19: ἴδοις δ' ἂν οὖν αὐτοὺς πρὸς τὸν αὐτὸν καιρὸν ὠκέως διαλλαττομένους, καὶ

τε γὰρ ἐξατμιζόμενον αὐτῆς ἀεροῦται, καὶ τὸ λεπτότατον ἀπὸ ἀέρος αἰθὴρ ἀνάπτεται, συνιζάνον τε τὸ ὕδωρ καὶ μεταβαλλόμενον εἰς ἰλὺν ἀπογαιοῦται [a])· διὸ δὴ τῆς τετράδος τῶν στοιχείων ὥσπερ αἰτιώτατον ὁ Θάλης ἀπεφήνατο [στοιχεῖον εἶναι] [1]) τὸ ὕδωρ [2]). Τίς οὖν ἐγέννησε ταύτην τὴν δόξαν; οὐχ Ὅμηρος, εἰπών·

Ὠκεανὸς, ὅσπερ γένεσις πάντεσσι τέτυκται [b]);

φερωνύμως μὲν ὠκεανὸν εἰπὼν τὴν ὑγρὰν φύσιν, παρὰ τὸ ὠκέως νάειν, τοῦτον δ' ὑποστησάμενος ἁπάντων γενεάρχην. ἀλλ' ὁ Κλαζομένιος Ἀναξαγόρας 3), κατὰ διαδοχὴν γνώριμος ὢν Θάλητος, συνέζευξε τῷ ὕδατι δεύτερον στοιχεῖον τὴν γῆν, ἵνα ξηρῷ μιχθὲν ὑγρὸν ἐξ ἀντιπάλου φύσεως εἰς μίαν ὁμόνοιαν ἀνακραθῇ. καὶ ταύτην δὲ τὴν ἀπόφασιν πρῶτος Ὅμηρος ἐγεώργησεν, Ἀναξαγόρᾳ σπέρματα τῆς ἐπινοίας χαρισάμενος 4), ἐν οἷς φησί·

---

αὐτὸν μιμουμένους τὸν Πρωτέα. V. Bast. Specim. ed. nov. Epp. Aristaen. p. 30.

[1]) Non ab ipso Heraclito haec vocabula videntur esse profecta.

[2]) Cf. Schol. Apoll. Rh. I. 498: Ὁ δὲ Θαλῆς ἀρχὴν ὑπεστήσατο πάντων τὸ ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ λέγοντος·

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

[3]) Pro Anaxagora eadem in re laudat Xenophanem Colophonium Auctor vitae Homeri Plutarcho tributae p. 324 ed. Gal. — *Heyn.*

[4]) Cf. Schol. Hom. Il. H. 99.... τῶν στοιχείων ὕδωρ καὶ γῆ κατὰ φύσιν ἀκίνητα, τὰ δ' ἄλλα κινητὰ δι' ἑαυτῶν· ταῦτα (l. ταύτην) οὖν φησὶν τὴν ἀκινησίαν ὀνειδίζων καὶ Ξενοφάνης·

πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα,

ἐκ γῆς γὰρ πάντ' ἐστὶ καὶ ἐς γῆν (πάντα) τελευτᾷ.

a) Cf. Lucian. V. H. II, 31: κατὰ μέσον δὲ καὶ γῆ καὶ λόφοι ἦσαν, ἐμοὶ δοκεῖν, ἐκ τῆς ἰλύος ἣν κατέπιε, συνιζάνουσα.

b) Il. Ξ. v. 246, ubi legitur Ὠκεανοῦ.

*Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.* [a]

πᾶν γὰρ τὸ φυόμενον ἔκ τινων εἰς ταὐτὰ [1]) ἀναλύεται διαφθειρόμενον, ὡσπερεὶ τῆς φύσεως, ἃ δεδάνεικεν ἐν ἀρχῇ χρέα, κομιζομένης ἐπὶ τέλει. διὸ δὴ τοῖς Κλαζομενίοις δόγμασιν ἑπόμενος Εὐριπίδης [2]) φησί·

Χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας
φύντ' [3]) εἰς γαῖαν, τὰ δ' ἀπ' αἰθερίου [4])
βλαστόντα γονῆς εἰς αἰθέρα.

Καταρώμενος οὖν ὁ ποιητὴς τοῖς Ἕλλησι, μίαν εὗρεν ἀρχὴν φιλόσοφον, εἰ πάλιν ὕδωρ καὶ γῆ γένοιντο, διαλυθέντες εἰς ταὐτὰ [5]), ἀφ' ὧν ἐπήχθησαν, ὅτε ἐγεννῶντο [6]). ἐσχάτη τοίνυν ὑπὸ τῶν μεγίστων φιλοσόφων ἡ τελεία τετρὰς ἐν τοῖς στοιχείοις συνεπληρώθη [b])· δύο μὲν γὰρ

---

[1]) Codd. εἰς ταῦτα.

[2]) Sunt hi versus Euripidis ex Chrysippo, atque partem efficiunt maioris fragmenti, cuius dispersa membra, partim ap. Sext. Emp. adv. Math. VI. 17. p. 360, partim ap. Phil. Ind. π. ἀφθ. κόσμου p. 948. C. ed. Hoesch. servata, in unum collegit H. Grotius. V. Valcken. Diatrib. p. 34 sqq. Quos vero Heraclitus operi suo inseruit Euripidis versus, ii si ipsam poëtae manum velis revocare, ita sunt emendandi atque disponendi (V. Dind. Eur. fragm. p. 119):

χωρεῖ δ' ὀπίσω
τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν,
τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς
εἰς [οὐράνιον πόλον ἦλθε πάλιν].

[3]) Codd. φύντα.

[4]) Codd. αἰθρίου

[5]) Codd. ταῦτα.

a) Il. *H.* v. 99.   b) V. Hom. P. V. l. l.

ὑλικά φασιν εἶναι, γῆν τε καὶ ὕδωρ, δύο δὲ πνευματικὰ, αἰθέρα τε καὶ ἀέρα, τούτων δὲ τὰς φύσεις, ἀλλήλαις ἐναντία φρονούσας, ὅταν εἰς τὸ αὐτὸ κραθῶσιν, ὁμονοεῖν.

## CAPUT XXIII.

Ἆρ' οὖν, εἴ τις θέλει [1]) τἀληθὲς ἐξετάζειν, οὐχὶ καὶ ταῦτα τὰ στοιχεῖα παρ' Ὁμήρῳ φιλοσοφεῖται; καὶ περὶ μὲν τῶν Ἥρας δεσμῶν, ἐν οἷς ἡ τάξις ἠλληγόρηται τῶν τεττάρων στοιχείων, εὐκαιρότερον αὖθις ἐροῦμεν· νῦν δ' ἀποχρῶσιν οἱ κατὰ τὴν τρίτην ῥαψῳδίαν ὅρκοι τὸ λεγόμενον ὑφ' ἡμῶν βεβαιῶσαι·

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις,
Καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
Ἀνθρώπους τίνυσθον, ὅ τίς κ' ἐπίορκον ὀμόσσῃ. [a]) [2])

[1]) Codd. θέλοι.

[2]) Quamvis etiam superiore quodam loco eodem modo, atque hic, secus ac vulgo fertur, primum horum versuum Homericorum citet Heraclitus, neque verosimile sit, quod Galio Schowioque in mentem venit, primum versum secundo Il. libro (Il. II. 412), reliquos tertio assignantibus, quum et ipse Heraclitus »τοὺς κατὰ τὴν τρίτην ῥαψῳδίαν ὅρκους" διαρρήδην appellet, quamvis praeterea eodem modo laudatus versus Γ. 276 inveniatur apud Herodian. d. Soloec. p. 198: tamen *hoc* loco eam arbitror revocandam esse lectionem, quae vulgata est in editionibus Homericis. Nequaquam enim mirari licet, quod priore loco illam, posteriore hanc lectionem Heraclitum secutum esse statuam. Etenim memoriter viri isti Homerum tenebant, neque, si quo versu erat utendum, anxie anquirebant. Hoc vero loco si dixissset:

a) Il. Γ. 277.

πρῶτον ἐπικαλεῖται τὸν ὀξύτατον αἰθέρα, τὴν ἀνωτάτω τάξιν εἰληχότα. πυρὸς δ' εἰλικρινοῦς [1]) φύσις, ἅτ' οἶμαι κουφοτάτη, τὸν ὑψηλότατον ἀποκεκλήρωται χῶρον· εἴη δ' ἂν, οἶμαι, τοῦτο Ζεὺς ἐπώνυμος, ἤτοι τὸ ζῆν παρεχόμενος ἀνθρώποις, ἢ παρὰ τὴν ἔμπυρον ζέσιν οὕτως ὠνομασμένος. ἀμέλει δὲ καὶ ὁ Εὐριπίδης [2]) τὸν ὑπερτεταμένον αἰθέρα φησίν· [3])

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
Καὶ γῆν πέριξ ἔχονθ' [4]) ὑγραῖς ἐν ἀγκάλαις;
Τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

Ὁ μὲν οὖν πρῶτος αἰθὴρ καλεῖται μεσίτης τῶν ὁρκίων.

---

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
quae sequitur explicatio absurdior esse videtur, quam ut vel Heraclito eam liceat imputare. Zeus enim in iis, quae sequuntur, idem esse dicitur, atque αἰθήρ. Quî autem fieri potest, ut qui ipse sit αἰθήρ, idem sit ἐν αἰθέρι ναίων? Itaque hoc loco legendum erit:

Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε.

[1]) Cod. A. πυρὸς γὰρ εἰλικρινής.

[2]) Fort. legendum est: ἀμέλει δὲ καὶ Εὐριπίδης Ζῆνα τὸν ὑπερτεταμένον αἰθέρα φησίν, quod conveniret cum Gesneri versione Latina: *Quin et Euripides superne tensum aethera Iovem esse voluit.*

[3]) V. Valcken. Diatr. p. 47. — Dind. Eur. fr. p. 119. I. — Cf. Eurip. fragm. apud Cram., Anecd. Oxon. p. 182. 11: λέγουσι δ' αὐτὸν (l. δ' αὖ τὸν) αἰθέρα Δία εἶναι, ὅτι ἔμπυρός ἐστι καὶ ζῇ (l. ζεῖ). Εὐριπίδης· ἀλλ' αἰθήρ τι κτίσε (l. τίκτει σε et cf. Et. Gud. p. 230. 30. et Bekker Anecd. p. 1101) κόρα, Ζεὺς ὃς ἀνθρώποις ὀνομάζεται. Fragmentum anapaestici systematis videtur esse pars, cuius priorem versum sic lego:

—— ἀλλ' αἰθήρ τίκτει σε κόρα,

posteriorem ad metricam normam nondum potui redigere.

[4]) Gal. et. Schow. ἔχοντ'.

ποταμοὶ δὲ καὶ γῆ, τὰ ὑλικὰ στοιχεῖα, μετὰ τὴν πρώτην φύσιν αἰθέρος. τὸν δ' ὑπένερθεν ἀέρα ἀλληγορικῶς αἴδην προσαγορεύει [1]). μέλαν γὰρ τουτὶ τὸ [2]) στοιχεῖον, ὡς ἂν, οἶμαι, παχυτέρας καὶ διύγρου λαχὸν μοίρας. δίχα γοῦν τῶν καταφωτίζειν δυναμένων ἀλαμπής ἐστιν. ὅθεν εὐλόγως αὐτὸν αἴδην προσηγόρευσε. τί οὖν τὸ πέμπτον, ὁ ἥλιος [3]); ἵνα τι καὶ περιπατητικοῖς φιλοσόφοις χαρίσηται Ὅμηρος, ἐπεκαλέσατο καὶ τοῦτον· ἀξιοῦσι γὰρ [4]) ἑτέραν τοῦ πυρὸς εἶναι ταύτην τὴν φύσιν, ἣν κυκλοφορητικὴν ὀνομάζουσιν, πέμπτον εἶναι τοῦτο στοιχεῖον [5]) ὁμολογοῦντες. ὁ μὲν γὰρ αἰθὴρ διὰ τὴν κουφότητα πρὸς τοὺς ἀνωτάτω χωρεῖ τόπους· ἥλιος δὲ καὶ σελήνη καὶ τῶν ὁμοδρόμων αὐτοῖς ἕκαστον ἄστρων, τὴν ἐν κύκλῳ φορὰν δινούμενα διατελεῖ, τῆς πυρώδους οὐσίας ἄλλην τινὰ δύναμιν ἔχοντα. [6]) διὰ τούτων ἁπάντων ὑπεσήμηνεν ἡμῖν τὰ πρωτοπαγῆ στοιχεῖα τῆς φύσεως.

## CAPUT XXIV.

Καὶ περὶ αὐτοῦ μηδεὶς λεγέτω, πῶς μὲν ὁ αἰθὴρ προσαγορεύεται Ζεύς, αἴδην δ' ὀνομάζει τὸν ἀέρα, καὶ συμβολικοῖς ὀνόμασι τὴν φιλοσοφίαν ἀμαυροῖ· παράδοξον γὰρ οὐδέν, εἰ ποιητής τε ὢν ἀλληγορεῖ, καὶ τῶν προηγουμένως φιλοσοφούντων τούτῳ τῷ τρόπῳ χρωμένων.

---

[1]) Codd. et Schow. τὸν δ' ὑπένερθεν αἴδην ἀλληγορικῶς ἀέρα προσαγορεύει.

[2]) Ita A. — Schow. τουτὶ στοιχεῖον.

[3]) A. πέμπτον, ἥλιος;

[4]) Schow. ἐπεκαλέσατο· καὶ τοῦτο γὰρ ἀξιοῦσιν.

[5]) Codd. et Schow. τοῦτο τὸ στοιχεῖον.

[6]) Fort. interpunctio hunc in modum est mutanda: τὴν ἐν κύκλῳ φορὰν δινούμενα, διατελεῖ τῆς πυρώδους οὐσίας ἄλλην τινὰ δύναμιν ἔχοντα.

ὁ γοῦν σκοτεινὸς Ἡράκλειτος ἀσαφῆ καὶ διὰ συμβόλων εἰκάζεσθαι δυνάμενα 1) θεολογεῖ 2) τὰ φυσικά, δι᾽ ὧν φησί· ἄνθρωποι θεοὶ θνητοί· θεοί τ᾽ ἄνθρωποι ἀθάνατοι 3), ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν· καὶ πάλιν· ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμεν 4). ὅλον τε τὸ περὶ φύσεως αἰνιγματωδῶς 5) ἀλληγορεῖ. Τί δ᾽ ὁ Ἀκραγαντῖνος Ἐμπεδοκλῆς; οὐχὶ τὰ τέτταρα στοιχεῖα βουλόμενος ἡμῖν ὑποσημῆναι, τὴν ὁμηρικὴν ἀλληγορίαν μεμίμηται;

*Ζεὺς ἀργής, Ἥρη τε φερέσβιος, ἠδ᾽ Ἀιδωνεύς,*
*Νῆστίς θ᾽, ἣ δακρύοις τέγγει κρούνωμα βρότειον* 6)

---

1) Cf. Schleiermacher in F. A. Wolfii »*Museum d. Alterthumswissenschaft*, I. p. 353.

2) Cod. A. θεολογεῖται φυσικά.

3) Mutila, quomodo in Codd. legebantur, vocabula hunc in modum esse restituenda ac supplenda (Codd. θεοὶ θνητοί τ᾽ ἄνθρωποι ἀθάνατοι), suspicatus est Schowius, at manifesto indicavit atque contendit Schleiermacher l. c. p. 499. Cff. Porphyr. d. A. N. p. 256. 41; Heins. ad Max. Tyr. Diss. X. p. 107.

4) Cf. Th. Gataker. ad Antonin. p. 126. D, et Schleierm. l. c. p. 529, qui collatis Aristot. Metaph. III. 5 et Plutarcheo isto ποταμῷ γὰρ οὐκ ἔστι δὶς ἐμβῆναι τῷ αὐτῷ (Plutarch., *EI* ap. Delph. 392 B; cf. Wyttenb. ad Plut. d. s. num. Vind. p. 76) post αὐτοῖς inseri iubet δίς. Perperam, ut videtur.

5) Schow. αἰνιγματῶδες.

6) Leguntur iidem Empedoclis versus apud. Sext. Empir. adv. Gramm. IX, 362; apud Stob. Ecl. phys. I. c. 11, 11; Suidam i. v. *Νῆστις*, Diogen. Laërtium VIII. 76: (in novissima Cobetii editione nulla apud Diog. Laërtium apparet lectionis varietas) alios. A variis vario modo citantur. Qua de re v. Karsten. ad Emped. p. 92.

Ζῆνα μὲν εἶπε τὸν αἰθέρα, γῆν δὲ τὴν Ἥραν, Ἀϊδωνέα δὲ τὸν ἀέρα, τὸ δὲ δακρύοις τεγγόμενον κρούνωμα βρότειον τὸ ὕδωρ. οὐ δὴ παράδοξον, εἰ τῶν προηγουμένως ὁμολογούντων φιλοσοφεῖν ἀλληγορικοῖς ὀνόμασι χρησαμένων, ὁ ποιητικὴν ἐπαγγελλόμενος ἐξίσου [τοῖς φιλοσόφοις] [1]) ἠλληγόρησε.

## CAPUT XXV.

[2]) Λοιπὸν οὖν σκοπῶμεν [3]), εἰ ἡ κατὰ Διὸς ἐπιβουλὴ τῶν στοιχείων ἐστὶν ἀπαρίθμησις [4]), καὶ φυσικωτέρας ἅπτεται θεωρίας. φασὶ τοίνυν οἱ δοκιμώτατοι φιλόσοφοι [5]) ταῦτα περὶ τῆς διαμονῆς [6]) τῶν ὅλων· ἕως μὲν ἂν ἀφιλόνεικος [7]) ἁρμονία τὰ τέτταρα [8]) στοιχεῖα διακρατῇ,

---

Qui idem eiusdem operis p. 181 haecce disputat de Dea »Νῆστις": »Νῆστις, *Lympha*, ductum a νάω, *fluo*, secundum Veteres (cf. p. 227), unde fortasse et Νηρεύς. Nam νηρός, ναρός, *fluidus* significat. Non novum illud nomen finxisse videtur Empedocles: nam Νῆστις fertur fuisse Deae cuiusdam nomen apud Siculos, teste Eustathio in Il. τ. p. 1180, l. 14: καὶ Σικελικὴ δέ τις, φασὶ, θεὸς Νῆστις ἐλέγετο. Sed significationem pro suo arbitrio mutavit." Qua perlecta annotatione, nihilo minus Schowii iudicio subscribo: »Numquam, ut puto, ad liquidum perduci vel constitui potest ratio et origo significatus, quem Empedocles priscae huic voci tribuerit."

[1]) Fort. delenda sunt vocabula, quae uncis inclusi.

[2]) Cf. Schol. Il. A. 399 (Ined.)

[3]) Schol. σκοπῶμεν οὖν, εἴπερ ἐν τούτοις τοῖς ἔπεσι. — Fort. pro σκοπῶμεν leg. est σκοπεῖν.

[4]) Schow., Schol. et Codd. ἀναρίθμησις.

[5]) Desideratur apud Schol. vocab. φιλόσοφοι.

[6]) Lacuna apud Schol. inter τῆς et τῶν.

[7]) Ita Schol. — Codd. ἀφιλόνεικος ἡ ἁρμ.

[8]) Schol. τέσσαρα.

μηδενὸς ἐξαιρέτως ὑπερδυναστεύοντος, ἀλλ᾽ ἑκάστου [κατ᾽ ἐμμέλειαν] 1), ἣν εἴληχε τάξιν οἰκονομοῦντος, ἀκινήτως ἕκαστα μενεῖν 2). εἰ δ᾽ ἐπικρατήσειε ἕν τι τῶν ἄλλων 3), καὶ τυραννῆσαν εἰς πλείω φορὰν παρέλθοι, τὰ λοιπὰ συγχυθέντα τῇ τοῦ κρατοῦντος ἰσχύι μετ᾽ ἀνάγκης ὑπείξειν. 4) πυρὸς μὲν οὖν 5) αἰφνιδίως ἐκζέσαντος 6), ἁπάντων ἔσεσθαι κοινὴν 7) ἐκπύρωσιν. εἰ δ᾽ ἀθροῦν 8) ὕδωρ ἐκραγείη, κατακλυσμῷ τὸν κόσμον ἀπολεῖσθαι. 9) διὰ τούτων τοίνυν 10) τῶν ἐπῶν μέλλουσάν τινα ταραχὴν ἐν τοῖς ὅλοις Ὅμηρος ὑποσημαίνει· Ζεὺς γὰρ, ἡ δυνατωτάτη φύσις, ὑπὸ τῶν ἄλλων 11) ἐπιβουλεύεται στοιχείων, Ἥρας μὲν, τοῦ ἀέρος, Ποσειδῶνος δὲ, τῆς ὑγρᾶς φύσεως, Ἀθηνᾶς δὲ, τῆς γῆς· ἐπεὶ δημιουργός ἐστιν 12) ἁπάντων, καὶ θεὸς ἐργάνη. 13) ταῦτα δὴ 14) τὰ

---

1) Vocabula uncis inclusa e superioribus otiose videntur esse repetita.

2) Codd. et Schol. μένειν.

3) Schow. εἰ δ᾽ ἐπικρατήσαι τι τῶν ἐν αὐτοῖς. — Schol. εἰ δ᾽ ἐπικρατήσει ἕν τῶν αὐτῶν. Nostrae mutationi opitulatur, quod sequitur paullo infra: Ζεὺς — ὑπὸ τῶν ἄλλων ἐπιβουλεύεται στοιχείων.

4) Schol. ὑπείξει.

5) οὖν, quod abest ab Her. Codd., e Schol. addidi.

6) Schol. ζέσαντος.

7) Schol. et A, sicuti Galii MS. Angl. κοινήν; — Heynius κοινῇ. Minus recte.

8) Schow. et Schol. ἀθρόον. — A. ἀθροῦν.

9) Schol. ἀπολέσθαι.

10) Schol. οὖν.

11) Schol. ὅλων.

12) Schol. ἐστὶ τῶν.

13) Desideratur ap. Schol. vocabulum δημιουργός.

14) Ita A. — Schow. δέ. — Schol. μέν.

στοιχεῖα πρῶτον μὲν συγγενῆ [1]) διὰ τὴν ἐν ἀλλήλοις ἀνάκρασιν· εἶτα, συγχύσεως παρὰ μικρὸν αὐτῶν [2]) γενομένης [3]), εὑρέθη βοηθὸς ἡ πρόνοια. Θέτιν δ' αὐτὴν εὐλόγως ὠνόμασεν. αὕτη γὰρ ὑπεστήσατο [4]) τῶν ὅλων εὔκαιρον διάθεσιν [5]), ἐν τοῖς ἰδίοις νόμοις ἱδρύσασα τὰ στοιχεῖα. σύμμαχος δ' αὐτῇ γέγονεν ἡ βριαρὰ καὶ πολύχειρ [6]) δύναμις· τὰ γὰρ τηλικαῦτα τῶν πραγμάτων νοσήσαντα, πῶς [7]) ἂν ἄλλως δύναιτο, πλὴν μετὰ μεγάλης βίας ἀναρρωσθῆναι; καὶ τὸ μὲν ἄφυκτον ἔγκλημα περὶ τῶν Διὸς ἀσεβῶν δεσμῶν οὕτω φυσικῆς [8]) ἀλληγορίας ἔχει θεωρίαν.

## CAPUT XXVI.

[9]) Ἐγκαλοῦσι δ' Ὁμήρῳ καὶ περὶ [10]) τῆς Ἡφαίστου ῥίψεως· τὸ μὲν πρῶτον, ὅτι χωλὸν αὐτὸν ὑφίσταται,

---

[1]) Vocabulum συγγενῆ nullo pacto bene se habet; quod vel una grammatica ratio damnat. Ipsius scriptoris manum revocare perquam erit difficile; neque palaeographica vestigia secuto, probabile quid mihi contigit elicere. Si ponas, ἡσύχαζε aut simile quid interiisse cuius in locum istud συγγενῆ subrepserit, a scriptoris sententia haud ita longe, arbitror, aberis.

[2]) Ita Schol. — Schow. αὐτοῖς.

[3]) Schol. γινομένης.

[4]) Codd. Heracl. ὑπέστη. — Schow. ὑπεστήσατο. — Schol. ὑπεστήσατο τὴν.

[5]) Codd. et Schol. ἀπόθεσιν. V. Heynii annotat. ad h. l.

[6]) Ita Schol. et A. — Schow. πολύχειρος.

[7]) Schol. et Schow. πῶς ἄλλως.

[8]) Ita Schol. — Schow. φυσικήν.

[9]) Cf. Schol. Il. A. 590. Quem locum praetervidi

[10]) Schol. et Schow. Ὁμήρῳ περί.

τὴν θείαν ἀκρωτηριάζων φύσιν· εἶθ᾽, ὅτι καὶ παρὰ [1]) μικρὸν ἧκε κινδύνου. φησὶ γάρ [2]),

Πᾶν δ᾽ ἦμαρ 3) φερόμην, ἅμα δ᾽ ἠελίῳ καταδύντι
Κάππεσον ἐν Λήμνῳ. ὀλίγος δ᾽ ἔτι θυμὸς ἐνῆεν. [a])

Καὶ τούτοις 4) δ᾽ ὑποκρύπτεταί τις Ὁμήρῳ φιλόσοφος νοῦς· οὐ γὰρ πλάσμασι ποιητικοῖς τοὺς ἀκούοντας τέρπων αὐτίκα χωλὸν ἡμῖν παραδέδωκεν Ἥφαιστον, τὸν ἐξ Ἥρας καὶ Διὸς μυθούμενον παῖδα 5)· τοῦτο γὰρ ἀπρεπὲς ὄντως ἱστορεῖν περὶ θεοῦ 6). ἀλλ᾽ ἐπεὶ ἡ τοῦ 7) πυρὸς οὐσία διπλῆ, καὶ τὸ μὲν αἰθέριον (ὡς ἔναγχος εἰρήκαμεν) ἐπὶ τῆς ἀνωτάτω τοῦ παντὸς αἰώρας οὐδὲν ὑστεροῦν ἔχει πρὸς 8) τελειότητα, τοῦ δὲ παρ᾽ ἡμῖν πυρὸς ἡ ὕλη, πρόσγειος οὖσα, φθαρτὴ, καὶ διὰ τῆς ὑποτρεφούσης 9) παρ᾽ ἕκαστα ζωπυρουμένη 10), διὰ τοῦτο

---

1) Adieci καὶ Schol. et Codicis A. auctoritatem secutus.

2) A. πᾶν γὰρ φησὶ δ᾽ ἦμαρ.

3) Ita Schol. — Schow. πανῆμαρ.

4) Schol. οὖν.

5) Apud Schow. omnis h[illegible] ita audit: ... νοῦς, [illegible] μασι π[illegible] ἀκ. τέ[illegible]ίκα χ. ἡ. π. Ἥφ. [illegible] ἐξ. Ἥ[illegible] θ[illegible] Apud Schol. [illegible] inte[illegible] [illegible] praeter[illegible] in[illegible] Schol. et [illegible]

τὴν μὲν 1) ὀξυτάτην φλόγα 2) συνεχῶς ἥλιόν τε καὶ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον. ὅθεν εἰκότως, κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου, τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὲ παρ' ἡμῖν πῦρ, ἄνευ τῆς τῶν ξύλων ἐπιθέσεως 3) οὐ δυνηθὲν ἂν ἐπιπλέον 4) παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται. τὸν γοῦν Ἥφαιστον οὐκ ἀλληγορικῶς ἐν ἑτέροις, ἀλλὰ διαρρήδην πῦρ φησὶν Ὅμηρος εἶναι 5)·

Σπλάγχνα δ' ἄρ ἐμπείραντες 6) ὑπείρεχον Ἡφαίστοιο. a)

Μεταληπτικῶς ὑπὸ τοῦ Ἡφαίστου τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι. Καὶ μὴν ἀπ' οὐρανοῦ ῥιπτόμενον 7) αὐτὸν ὑφίσταται φυσικῶς. Κατὰ γὰρ ἀρχὰς 8) οὐδέπω τῆς τοῦ πυρὸς χρήσεως ἐπιπολαζούσης, ἄνθρωποι χρονικῶς χαλκοῖς τισιν ὀργάνοις κατεσκευασμένοις ἐφειλκύσαντο 9) τοὺς ἀπὸ τῶν μετεώρων φερομένους σπινθῆρας, κατὰ

---

1) μέν e Schol. supplevi.

2) Cf. Schleiermacher., l. c. p. 453.

3) Ita Schol. — Codd. παραθέσεως.

4) Schow. ἐπιπλεῖον. — Schol. ἐπὶ πλέον.

5) In Cod. A desideratur vocab. φησίν. Apud Schol. haec ita leguntur: φησὶν Ὅμηρος πῦρ εἶναι, ὡς τό·

6) Schow. et Codd. ἀμπείραντες. Schol. ἐμπ.

7) A. ῥιπτούμενον. — Schol. ναὶ μὴν ἀπ' οὔνῶν (sic) ὑφίστ. ῥιπτ. αὐτόν.

8) Schol. et Schow. ὑφίσταται. φυσικῶς γὰρ κατ' ἀρχὰς κτέ.

9) Schol. ἐφελκύσαντο.

a) V. Il. B v. 426.

τὰς μεσημβρίας 1) ἐναντία τῷ ἡλίῳ [τὰ ὄργανα] τιθέντες· ὅθεν οἶμαι δοκεῖ καὶ Προμηθεὺς ἀπ᾽ οὐρανοῦ διακλέψαι τὸ πῦρ 2). ἐπειδήπερ [τέχνης] προμηθεια τῶν ἀνθρώπων ἐπενόησε τὴν ἐκεῖθεν ἀπόρροιαν αὐτοῦ 3). Λῆμνον δὲ πρῶτον 4) οὐκ ἀλόγως ἐμύθευσε 5) τὴν ὑποδεξαμένην 6) τὸ θεόβλητον 7) πῦρ· ἐνταῦθα γὰρ ἀνίενται [ἐγ]γηγενοῦς 8) πυρὸς αὐτόματοι φλόγες. δηλοῖ δὲ σαφῶς, ὅτι τοῦτο θνητόν 9) ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν·

ὀλίγος δ᾽ ἔτι θυμὸς ἐνῆεν.

---

1) Schol. τὴν μεσημβρίαν.

2) Ita cum Schol. Cod. A. — Schow. ὅθεν καὶ ὁ Προμηθεὺς .... πῦρ λέγεται.

3) Vocabulum τέχνης uncis inclusi, tamquam e margine textui illatum. Potuit quidem Heraclitus τέχνῃ καὶ προμήθεια scribere; at vero multo videtur esse similius, librarium, quam ipsum scriptorem, vocabulo sat perspicuo explicationem insuper adiunxisse. Fortasse addito articulo, legendum est ἐπειδήπερ ἡ προμήθεια τῶν ἀνθρώπων. Scholiasta Hom. non est audiendus, apud quem Heracliti verba ita audiunt: ἐπειδήπερ τέχνῃ Προμηθέως οἱ ἄνθρωποι κτέ.

4) Schol. πρώτως. Fort. corrig. πρώτην.

5) Schol. ἐμυθεύσαντο.

6) Schol. ἐπιδεξάμ. 7) Schol. θεο..... τον.

8) Cod. A. ἐγγυγηγενοῦς. Ne ἐγγηγενοῦς quidem, quod Gesnerus commendat, videtur bene se habere, quippe quod omni destitutum sit auctoritate. Γηγενοῦς arbitror esse restituendum. Cf. Schol. Od. Θ. 284: ἐκεῖσε γὰρ ἀνίενται γηγενοῦς πυρὸς αὐτόματοι φλόγες. Longin. 35: καὶ ποταμοὺς ἐνίοτε τοῦ γηγενοῦς ἐκείνου καὶ αὐτοῦ μόνου προχέουσι πυρός, et Ruhnken. ad h. l. — Schol. Il. γηγενοῦς. — A. praeterea αὐτόμαται.

9) Gesn. αἰθέριον vel θεόβλητον, Cod. θεωρητόν, alterum

ἀπόλλυται γὰρ εὐθέως μαρανθὲν, εἰ μὴ λάβοιτο τῆς διαφυλάττειν αὐτὸ δυναμένης προνοίας.

## CAPUT XXVII

Καὶ ταῦτα μὲν περὶ Ἡφαίστου φιλοσοφητέον. ἐῶ γὰρ ἐπὶ τοῦ παρόντος, ὡς τερατείαν τινὰ, τὴν Κράτητος [1]) φιλοσοφίαν, ὅτι Ζεὺς, ἀναμέτρησιν τοῦ παντὸς ἐσπουδακὼς γενέσθαι, δύο πυρσοῖς ἰσοδρομοῦσιν, Ἡφαίστῳ τε καὶ ἡλίῳ, διετεκμήρατο τοῦ κόσμου τὰ διαστήματα· τὸν μὲν ἄνωθεν ἀπὸ τοῦ βηλοῦ καλουμένου ῥίψας, τὸν δ' ἀπ' ἀνατολῆς [2]) εἰς δύσιν ἀφεὶς [3]) φέρεσθαι. διὰ

---

altero ineptius. Nam non de αἰθερίῳ igne loquitur Heraclitus, immo in eo est, ut Hephaestum τὸ φθαρτὸν πῦρ significare demonstret. Lego θνητόν. Ita scripsisse Heracl. ad evidentiam usque demonstrare nequeo; at ita apte scribere eum potuisse, quis negabit?

[1]) Schol. Κράτητος τοῦ Θηβαίου. Quis ille fuerit Crates, cuius portentosae doctrinae specimen servavit Heraclitus, pro certo enucleari nequit. Schowio enim, sine dubio illum fuisse Cratetem Mallotam Grammaticum asserenti, profecto haud maior fides est habenda, quam Scholiastae, ne omnino nihil dicat, τοῦ Θηβαίου addenti. Fuit enim Thebanus ille Crates philosophus Cynicus, cuius ab ingenio tales nugas mathematicas fuisse quam alienissimas, ex iis satis luculenter apparet, quas illius doctrinae ac poësis reliquias servavit Diog. Laërt. VI. 5. 85—94. Cuius alterum operae pretium est de scriptoribus, quibus Cratetis nomen fuerit, inspicere locum IV. 4. 23, quo fiat manifestius, quam sit difficile, servatum ab Heraclito δόγμα illi inter eos reddere, cui acceptum debeatur.

[2]) Schol. ἀνατλῶν.

[3]) Schol. μεθείς.

τοῦτ' ἀμφότεροι [1]) καὶ συνεχρόνισαν. ἅμα γὰρ ἡελίῳ [2]) καταδύντι κάππεσεν Ἥφαιστος ἐν Λήμνῳ· τοῦτο τοίνυν, εἴτε κοσμική τις ἀναμέτρησις [3]), εἴθ', ὅτι μᾶλλον ἀληθές, ἔστιν [4]) ἀλληγορικὴ τοῦ καθ' ἡμᾶς πυρὸς [ἀνθρώποις] [5]) παράδοσις [6]), οὐδὲν ἀσεβὲς [7]) περὶ [8]) Ἡφαίστου παρ' Ὁμήρῳ λέλεκται [9]).

## CAPUT XXVIII.

Καὶ μὴν ἐπὶ τῆς δευτέρας ῥαψῳδίας, ἀνακομιζομένων τῶν Ἑλλήνων, Ὀδυσσεῖ διαποροῦντι παρέστηκεν οὐκ ἄλλη τις, ἀλλ' ἡ θεία φρόνησις [10]), ἣν Ἀθηνᾶν ὀνομάζει. Καὶ τὴν ἀποστελλομένην Ἶριν ἄγγελον τοῦ Διός, τὸν εἴροντα λόγον ὑφίσταται, ὥσπερ Ἑρμῆν τὸν ἑρμηνεύοντα· δύο γὰρ ἄγγελοι θεῶν, οὐδενὸς ἄλλου πλὴν ἐπώνυμοι τῆς κατὰ τὸν λόγον ἑρμηνείας [11]). Ἀλλ' ἀπρεπῶς [12]) Ἀφροδίτη μαστροπεύει πρὸς Ἀλέξανδρον

---

[1]) Ita A. et Schol. — Schow. ἀμφότερα.

[2]) Ita A. — Schow. et Schol. ἡλίῳ.

[3]) Schol. κοσμικήν τις ἀναμέτρησιν.

[4]) Schol. et Schow. ὃ μᾶλλον ἀληθές ἐστιν.

[5]) Fort. del. vocab. ἀνθρώποις. Post ἀνθρώποις apud Schol. εἴποι est insertum.

[6]) Schol. παράδοσιν.

[7]) Schol. ἀσεβές ἐστιν.

[8]) Schow. et Codd. ὑπέρ.

[9]) Schol. λεγόμενον. Explicit Schol. Hom. Il. A. 590.

[10]) Ita A. — Schow. οὐκ ἄλλη τις ἀληθείᾳ ἢ φρόνησις.

[11]) Cf. Schol. Il. Γ. 424, qui locus fugit Hasium.

[12]) Schol. τινὲς λέγουσιν, ὅτι ἀπρεπῶς.

Ἑλένην. [1]) ἀγνοοῦσι γάρ, ὅτι νῦν λέγει τὴν ἐν τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην. ἡ μεσῖτίς ἐστι καὶ διάκονος ἀεὶ μειρακιώδους [2]) ἐπιθυμίας· αὕτη καὶ τόπον εὗρεν ἐπιτήδειον, ὅπου τὸν Ἑλένης δίφρον ἀφιδρύσει [3]), καὶ ποικίλοις μαγγάνοις ἑκατέρων [4]) κινεῖ τὸν πόθον, Ἀλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δ' Ἑλένης μετανοεῖν ἀρχομένης. διὸ δὴ κατ' ἀρχὰς ἀντειποῦσα, τοὔσχατον ὑπείκει, μεταξὺ δυοῖν φερομένη [5]) παθῶν, ἔρωτός τε τοῦ πρὸς Ἀλέξανδρον, καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον.

## CAPUT XXIX.

[6]) Ἥ γε μὴν εὐωχουμένοις τοῖς θεοῖς [7]) ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη, τίς ἂν εἴη, πλὴν ἡ διηνεκῶς [8]) ἐν ταῖς ἁβροσύναις [9]) νεότης; οὐδὲ [10]) γὰρ ἐν οὐρανῷ [11]) γῆρας, οὐδ' ὕπεστί τι τῆς θείας φύσεως ἔσχατον βίου νόσημα. πάσης δ' ἐξαιρέτως θυμηδίας, ὡσπερεὶ συνεκτικὸν ὄργανόν ἐστιν ἡ τῶν συνεληλυθότων ἐπὶ τὴν ἁβρο-

---

[1]) Schol. πρὸς τὸν Ἀλ. τὴν Ἑλ.

[2]) Schol. ἡ μεσῖτίς ἐστιν ἀεὶ καὶ διάκ. μειρ.

[3]) Schol. ἀφιδρεύσει.

[4]) Schol. ἑκάτερον. Fort. leg. ἑκατέρου.

[5]) Schol. δύο φερομένων.

[6]) Cf. Schol. Il. Δ. 2, qui locus fugerat Hasium.

[7]) Adieci τοῖς θεοῖς e Schol.

[8]) Fort. ἡ διάκονος.

[9]) Schow. εὐφροσύναις. — Schol. ἀφροσύναις.

[10]) Schow. et Schol. οὐδέν. — Gal. MS. Angl. οὐδέ.

[11]) Schol. οὐρανῷ ἐστι.

σύνην [1]) ἀκμή [2]). Περὶ μέν γε τῆς [3]) Ἔριδος οὐδ' ὑπεσταλμένως ἠλληγόρησεν [4]), οὐδ' ὥστε δεῖσθαι λεπτῆς τινος εἰκασίας· ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὴν πεπόμπευκεν·

Ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει [a]).

διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεά τις οὕτω [5]) παντάπασιν τερατώδης ὑφ' Ὁμήρου μεμόρφωται, τὰς πρὸς ἑκάτερον [6]) μεταβολὰς τοῦ σώματος ἀπίστους [7]) ἔχουσα, καὶ ποτὲ μὲν ἐπὶ γῆς ἐρριμμένη ταπεινὴ [8]), ποτὲ δ' εἰς ἄπειρον αἰθέρος [9]) ἐκτειναμένη μέγεθος· ἀλλ', ὃ συμβέβηκεν ἀεὶ [10]) τοῖς φιλονεικοῦσι πάθος, ἐκ ταύτης τῆς ἀλληγορίας διετύπωσεν [11]). ἀρξαμένη [12]) γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις, ἐπειδὰν ὑποκινηθῇ, πρὸς μέγα δή τι κακὸν [13]) διογκοῦται.

---

[1]) Schow. εὐφροσύνην. — Schol. ἀφροσύνην.

[2]) Cf. Schol. Il. Δ. 440.

[3]) Schol. περὶ τῆς.

[4]) Schol. ἠλληγόρησεν Ὅμηρος.

[5]) Schol. οὕτω τις.

[6]) Schow. πρὸς ἑκατέρου. — Schol. πρὸ ἑκατέρου. — Heyn. πρὸς ἑκάτερον.

[7]) Schol. ἀπίστως.

[8]) Fort. delendum est vocabulum ταπεινή.

[9]) Vocabulum αἰθέρος addidi e Cod. A et e Schol.

[10]) Schol. ἀλλ' ὅπως (leg. ὅπερ) ἔθος συμβαίνειν.

[11]) Schol. ἐδήλωσεν. [12]) Schol. ἀρχομένη.

[13]) Schow. κακοῦ. V. Heyn. ad h. l.

[a]) Il. Δ. v. 442.

Ζῆνα μὲν εἶπε τὸν αἰθέρα, γῆν δὲ τὴν Ἥραν, Ἀιδωνέα δὲ τὸν ἀέρα, τὸ δὲ δακρύοις τεγγόμενον κρούνωμα βρότειον τὸ ὕδωρ. οὐ δὴ παράδοξον, εἰ τῶν προηγουμένως ὁμολογούντων φιλοσοφεῖν ἀλληγορικοῖς ὀνόμασι χρησαμένων, ὁ ποιητικὴν ἐπαγγελλόμενος ἐξίσου [τοῖς φιλοσόφοις] [1]) ἠλληγόρησε.

## CAPUT XXV.

[2]) Λοιπὸν οὖν σκοπῶμεν [3]), εἰ ἡ κατὰ Διὸς ἐπιβουλὴ τῶν στοιχείων ἐστὶν ἀπαρίθμησις [4]), καὶ φυσικωτέρας ἅπτεται θεωρίας. φασὶ τοίνυν οἱ δοκιμώτατοι φιλόσοφοι [5]) ταῦτα περὶ τῆς διαμονῆς [6]) τῶν ὅλων· ἕως μὲν ἂν ἀφιλόνεικος [7]) ἁρμονία τὰ τέτταρα [8]) στοιχεῖα διακρατῇ,

---

Qui idem eiusdem operis p. 181 haecce disputat de Dea »Νῆστις«: »Νῆστις, *Lympha*, ductum a νάω, *fluo*, secundum Veteres (cf. p. 227), unde fortasse et Νηρεύς. Nam νηρός, ναρός, *fluidus* significat. Non novum illud nomen finxisse videtur Empedocles: nam Νῆστις fertur fuisse Deae cuiusdam nomen apud Siculos, teste Eustathio in Il. τ. p. 1180, l. 14: καὶ Σικελικὴ δέ τις, φασὶ, θεὸς Νῆστις ἐλέγετο. Sed significationem pro suo arbitrio mutavit.« Qua perlecta annotatione, nihilo minus Schowii iudicio subscribo: »Numquam, ut puto, ad liquidum perduci vel constitui potest ratio et origo significatus, quem Empedocles priscae huic voci tribuerit.«

[1]) Fort. delenda sunt vocabula, quae uncis inclusi.

[2]) Cf. Schol. Il. A. 399 (Ined.)

[3]) Schol. σκοπῶμεν οὖν, εἴπερ ἐν τούτοις τοῖς ἔπεσι. — Fort. pro σκοπῶμεν leg. est σκοπεῖν.

[4]) Schow., Schol. et Codd. ἀναρίθμησις.

[5]) Desideratur apud Schol. vocab. φιλόσοφοι.

[6]) Lacuna apud Schol. inter τῆς et τῶν.

[7]) Ita Schol. — Codd. ἀφιλόνεικος ἡ ἁρμ.

[8]) Schol. τέσσαρα.

μηδενὸς ἐξαιρέτως ὑπερδυναστεύοντος, ἀλλ' ἑκάστου [κατ' ἐμμέλειαν] [1], ἣν εἴληχε τάξιν οἰκονομοῦντος, ἀκινήτως ἕκαστα μενεῖν [2]. εἰ δ' ἐπικρατήσειε ἕν τι τῶν ἄλλων [3], καὶ τυραννήσαν εἰς πλείω φορὰν παρέλθοι, τὰ λοιπὰ συγχυθέντα τῇ τοῦ κρατοῦντος ἰσχύι μετ' ἀνάγκης ὑπείξειν. [4] πυρὸς μὲν οὖν [5] αἰφνιδίως ἐκζέσαντος [6], ἁπάντων ἔσεσθαι κοινὴν [7] ἐκπύρωσιν. εἰ δ' ἀθροῦν [8] ὕδωρ ἐκραγείη, κατακλυσμῷ τὸν κόσμον ἀπολεῖσθαι. [9] διὰ τούτων τοίνυν [10] τῶν ἐπῶν μέλλουσάν τινα ταραχὴν ἐν τοῖς ὅλοις Ὅμηρος ὑποσημαίνει· Ζεὺς γὰρ, ἡ δυνατωτάτη φύσις, ὑπὸ τῶν ἄλλων [11] ἐπιβουλεύεται στοιχείων, Ἥρας μὲν, τοῦ ἀέρος, Ποσειδῶνος δὲ, τῆς ὑγρᾶς φύσεως, Ἀθηνᾶς δὲ, τῆς γῆς· ἐπεὶ δημιουργός ἐστιν [12] ἁπάντων, καὶ θεὸς ἐργάνη. [13] ταῦτα δὴ [14] τὰ

---

1) Vocabula uncis inclusa e superioribus otiose videntur esse repetita.

2) Codd. et Schol. μένειν.

3) Schow. εἰ δ' ἐπικρατήσαι τι τῶν ἐν αὐτοῖς. — Schol. εἰ δ' ἐπικρατήσει ἓν τῶν αὐτῶν. Nostrae mutationi opitulatur, quod sequitur paullo infra: Ζεὺς — ὑπὸ τῶν ἄλλων ἐπιβουλεύεται στοιχείων.

4) Schol. ὑπείξει.

5) οὖν, quod abest ab Her. Codd., e Schol. addidi.

6) Schol. ζέσαντος.

7) Schol. et A, sicuti Galii MS. Angl. κοινήν; — Heynius κοινῇ. Minus recte.

8) Schow. et Schol. ἀθρόον. — A. ἀθροῦν.

9) Schol. ἀπολέσθαι.

10) Schol. οὖν.

11) Schol. ὅλων.

12) Schol. ἐστὶ τῶν.

13) Desideratur ap. Schol. vocabulum δημιουργός.

14) Ita A. — Schow. δέ. — Schol. μέν.

στοιχεῖα πρῶτον μὲν συγγενῆ [1]) διὰ τὴν ἐν ἀλλήλοις ἀνάκρασιν· εἶτα, συγχύσεως παρὰ μικρὸν αὐτῶν [2]) γενομένης [3]), εὑρέθη βοηθὸς ἡ πρόνοια. Θέτιν δ' αὐτὴν εὐλόγως ὠνόμασεν. αὕτη γὰρ ὑπεστήσατο [4]) τῶν ὅλων εὔκαιρον διάθεσιν [5]), ἐν τοῖς ἰδίοις νόμοις ἱδρύσασα τὰ στοιχεῖα. σύμμαχος δ' αὐτῇ γέγονεν ἡ βριαρὰ καὶ πολύχειρ [6]) δύναμις· τὰ γὰρ τηλικαῦτα τῶν πραγμάτων νοσήσαντα, πῶς [7]) ἂν ἄλλως δύναιτο, πλὴν μετὰ μεγάλης βίας ἀναρρωσθῆναι; καὶ τὸ μὲν ἄφυκτον ἔγκλημα περὶ τῶν Διὸς ἀσεβῶν δεσμῶν οὕτω φυσικῆς [8]) ἀλληγορίας ἔχει θεωρίαν.

## CAPUT XXVI.

[9]) Ἐγκαλοῦσι δ' Ὁμήρῳ καὶ περὶ [10]) τῆς Ἡφαίστου ῥίψεως· τὸ μὲν πρῶτον, ὅτι χωλὸν αὐτὸν ὑφίσταται,

---

[1]) Vocabulum συγγενῆ nullo pacto bene se habet; quod vel una grammatica ratio damnat. Ipsius scriptoris manum revocare perquam erit difficile; neque palaeographica vestigia secuto, probabile quid mihi contigit elicere. Si ponas, ἡσύχαζε aut simile quid interiisse cuius in locum istud συγγενῆ subrepserit, a scriptoris sententia haud ita longe, arbitror, aberis.

[2]) Ita Schol. — Schow. αὐτοῖς.

[3]) Schol. γινομένης.

[4]) Codd. Heracl. ὑπέστη. — Schow. ὑπεστήσατο. — Schol. ὑπεστήσατο τήν.

[5]) Codd. et Schol. ἀπόθεσιν. V. Heynii annotat. ad h. l.

[6]) Ita Schol. et A. — Schow. πολύχειρος.

[7]) Schol. et Schow. πῶς ἄλλως.

[8]) Ita Schol. — Schow. φυσικήν.

[9]) Cf. Schol. Il. A. 590. Quem locum praetervidit Hasius.

[10]) Schol. et Schow. Ὁμήρῳ περί.

τὴν θείαν ἀκρωτηριάζων φύσιν· εἶθ', ὅτι καὶ παρὰ [1] μικρὸν ἧκε κινδύνου. φησὶ γάρ [2],

Πᾶν δ' ἦμαρ [3] φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
Κάππεσον ἐν Λήμνῳ. ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν. [a]

Καὶ τούτοις [4] δ' ὑποκρύπτεταί τις Ὁμήρῳ φιλόσοφος νοῦς· οὐ γὰρ πλάσμασι ποιητικοῖς τοὺς ἀκούοντας τέρπων αὐτίκα χωλὸν ἡμῖν παραδέδωκεν Ἥφαιστον, τὸν ἐξ Ἥρας καὶ Διὸς μυθουμενον παῖδα [5]· τοῦτο γὰρ ἀπρεπὲς ὄντως ἱστορεῖν περὶ θεοῦ [6]. ἀλλ' ἐπεὶ ἡ τοῦ [7] πυρὸς οὐσία διπλῆ, καὶ τὸ μὲν αἰθέριον (ὡς ἔναγχος εἰρήκαμεν) ἐπὶ τῆς ἀνωτάτω τοῦ παντὸς αἰώρας οὐδὲν ὑστεροῦν ἔχει πρὸς [8] τελειότητα, τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη, πρόσγειος οὖσα, φθαρτὴ, καὶ διὰ τῆς ὑποτρεφούσης [9] παρ' ἕκαστα ζωπυρουμένη [10], διὰ τοῦτο

---

[1]) Adieci καὶ Schol. et Codicis A. auctoritatem secutus.

[2]) A. πᾶν γὰρ φησὶ δ' ἦμαρ.

[3]) Ita Schol. — Schow. πανῆμαρ.

[4]) Schol. οὖν.

[5]) Apud Schow. omnis hic locus ita audit: ... νοῦς, οὐ πλάσμασι ποιητ. τ. ἀκ. τέρπων· αὐτίκα χ. ἡ. π. Ἥφ., οὐ τὸν ἐξ. Ἥρ. κ. Δ. *μυθολογούμενον* παῖδα. Apud Schol. maior interpunctio post νοῦς, minor est post τέρπων; praeterea γὰρ insertum post πλάσμασι. μυθούμενον est apud Schol. et in Cod. A.

[6]) Ita Schol. — Schow. θεῶν.

[7]) Articulum e Schol. addidi.

[8]) Schol. πρὸς τὴν.

[9]) Schow. ὑποστρεφούσης. — Schol. ὑποτρεφούσης. — Idem Heynius coniecerat ad h. l. — Cf. Eustath. ad Il. p. 151 et 152.

[10]) Schol. ζωπυρούμενα.

a) V. Il. A. v. 592.

τὴν μὲν [1]) ὀξυτάτην φλόγα [2]) συνεχῶς ἥλιόν τε καὶ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον. ὅθεν εἰκότως, κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου, τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὲ παρ' ἡμῖν πῦρ, ἄνευ τῆς τῶν ξύλων ἐπιθέσεως [3]) οὐ δυνηθὲν ἂν ἐπιπλέον [4]) παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται. τὸν γοῦν Ἥφαιστον οὐκ ἀλληγορικῶς ἐν ἑτέροις, ἀλλὰ διαρρήδην πῦρ φησὶν Ὅμηρος εἶναι [5])·

Σπλάγχνα δ' ἄρ ἐμπείραντες [6]) ὑπείρεχον Ἡφαίστοιο. [a])

Μεταληπτικῶς ὑπὸ τοῦ Ἡφαίστου τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι. Καὶ μὴν ἀπ' οὐρανοῦ ῥιπτόμενον [7]) αὐτὸν ὑφίσταται φυσικῶς. Κατὰ γὰρ ἀρχὰς [8]) οὐδέπω τῆς τοῦ πυρὸς χρήσεως ἐπιπολαζούσης, ἄνθρωποι χρονικῶς χαλκοῖς τισιν ὀργάνοις κατεσκευασμένοις ἐφειλκύσαντο [9]) τοὺς ἀπὸ τῶν μετεώρων φερομένους σπινθῆρας, κατὰ

---

1) μέν e Schol. supplevi.

2) Cf. Schleiermacher., l. c. p. 453.

3) Ita Schol. — Codd. παραθέσεως.

4) Schow. ἐπιπλεῖον. — Schol. ἐπὶ πλέον.

5) In Cod. A desideratur vocab. φησίν. Apud Schol. haec ita leguntur: φησὶν Ὅμηρος πῦρ εἶναι, ὡς τό·

6) Schow. et Codd. ἀμπείραντες. Schol. ἐμπ.

7) A. ῥιπτούμενον. — Schol. ναὶ μὴν ἀπ' οὐνῶν (sic) ὑφίστ. ῥιπτ. αὐτόν.

8) Schol. et Schow. ὑφίσταται. φυσικῶς γὰρ κατ' ἀρχὰς κτἑ.

9) Schol. ἐφελκύσαντο.

a) V. Il. *B* v. 426.

τὰς μεσημβρίας [1]) ἐναντία τῷ ἡλίῳ [τὰ ὄργανα] τιθέντες· ὅθεν οἶμαι δοκεῖ καὶ Προμηθεὺς ἀπ᾽ οὐρανοῦ διακλέψαι τὸ πῦρ [2]). ἐπειδήπερ [τέχνης] προμηθεια τῶν ἀνθρώπων ἐπενόησε τὴν ἐκεῖθεν ἀπόρροιαν αὐτοῦ [3]). Λῆμνον δὲ πρῶτον [4]) οὐκ ἀλόγως ἐμύθευσε [5]) τὴν ὑποδεξαμένην [6]) τὸ θεόβλητον [7]) πῦρ· ἐνταῦθα γὰρ ἀνίενται [ἐγ]γηγενοῦς [8]) πυρὸς αὐτόματοι φλόγες. δηλοῖ δὲ σαφῶς, ὅτι τοῦτο θνητὸν [9]) ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν·

ὀλίγος δ᾽ ἔτι θυμὸς ἐνῆεν.

---

1) Schol. τὴν μεσημβρίαν.

2) Ita cum Schol. Cod. A. — Schow. ὅθεν καὶ ὁ Προμηθεὺς .... πῦρ λέγεται.

3) Vocabulum τέχνης uncis inclusi, tamquam e margine textui illatum. Potuit quidem Heraclitus τέχνη καὶ προμήθεια scribere; at vero multo videtur esse similius, librarium, quam ipsum scriptorem, vocabulo sat perspicuo explicationem insuper adiunxisse. Fortasse addito articulo, legendum est ἐπειδήπερ ἡ προμήθεια τῶν ἀνθρώπων. Scholiasta Hom. non est audiendus, apud quem Heracliti verba ita audiunt: ἐπειδήπερ τέχνη Προμηθέως οἱ ἄνθρωποι κτέ.

4) Schol. πρώτως. Fort. corrig. πρώτην.

5) Schol. ἐμυθεύσαντο.

6) Schol. ἐπιδεξάμ. 7) Schol. θεο...... τον.

8) Cod. A. ἐγγυγηγενοῦς. Ne ἐγγηγενοῦς quidem, quod Gesnerus commendat, videtur bene se habere, quippe quod omni destitutum sit auctoritate. Γηγενοῦς arbitror esse restituendum. Cf. Schol. Od. Θ. 284: ἐκεῖσε γὰρ ἀνίενται γηγενοῦς πυρὸς αὐτόματοι φλόγες. Longin. 35: καὶ ποταμοὺς ἐνίοτε τοῦ γηγενοῦς ἐκείνου καὶ αὐτοῦ μόνου προχέουσι πυρός, et Ruhnken. ad h. l. — Schol. Il. γηγενοῦς. — A. praeterea αὐτόμαται.

9) Gesn. αἰθέριον vel θεόβλητον, Cod. θεωρητόν, alterum

ἀπόλλυται γὰρ εὐθέως μαρανθὲν, εἰ μὴ λάβοιτο τῆς διαφυλάττειν αὐτὸ δυναμένης προνοίας.

## CAPUT XXVII

Καὶ ταῦτα μὲν περὶ Ἡφαίστου φιλοσοφητέον. ἐῶ γὰρ ἐπὶ τοῦ παρόντος, ὡς τερατείαν τινὰ, τὴν Κράτητος [1]) φιλοσοφίαν, ὅτι Ζεὺς, ἀναμέτρησιν τοῦ παντὸς ἐσπουδακὼς γενέσθαι, δύο πυρσοῖς ἰσοδρομοῦσιν, Ἡφαίστῳ τε καὶ ἡλίῳ, διετεκμήρατο τοῦ κόσμου τὰ διαστήματα· τὸν μὲν ἄνωθεν ἀπὸ τοῦ βηλοῦ καλουμένου ῥίψας, τὸν δ' ἀπ' ἀνατολῆς [2]) εἰς δύσιν ἀφεὶς [3]) φέρεσθαι. διὰ

---

altero ineptius. Nam non de αἰθερίῳ igne loquitur Heraclitus, immo in eo est, ut Hephaestum τὸ φθαρτὸν πῦρ significare demonstret. Lego θνητόν. Ita scripsisse Heracl. ad evidentiam usque demonstrare nequeo; at ita apte scribere eum potuisse, quis negabit?

[1]) Schol. Κράτητος τοῦ Θηβαίου. Quis ille fuerit Crates, cuius portentosae doctrinae specimen servavit Heraclitus, pro certo enucleari nequit. Schowio enim, sine dubio illum fuisse Cratetem Mallotam Grammaticum asserenti, profecto haud maior fides est habenda, quam Scholiastae, ne omnino nihil dicat, τοῦ Θηβαίου addenti. Fuit enim Thebanus ille Crates philosophus Cynicus, cuius ab ingenio tales nugas mathematicas fuisse quam alienissimas, ex iis satis luculenter apparet, quas illius doctrinae ac poësis reliquias servavit Diog. Laërt. VI. 5. 85—94. Cuius alterum operae pretium est de scriptoribus, quibus Cratetis nomen fuerit, inspicere locum IV. 4. 23, quo fiat manifestius, quam sit difficile, servatum ab Heraclito δόγμα illi inter eos reddere, cui accentum debeatur.

[2]) Schol. ἀνατλῶν.

[3]) Schol. μεθεὶς.

τοῦτ' ἀμφότεροι [1]) καὶ συνεχρόνισαν. ἅμα γὰρ ἡελίῳ [2]) καταδύντι κάππεσεν Ἥφαιστος ἐν Λήμνῳ· τοῦτο τοίνυν, εἴτε κοσμική τις ἀναμέτρησις [3]), εἴθ', ὅτι μᾶλλον ἀληθές, ἔστιν [4]) ἀλληγορικὴ τοῦ καθ' ἡμᾶς πυρὸς [ἀνθρώποις] [5]) παράδοσις [6]), οὐδὲν ἀσεβὲς [7]) περὶ [8]) Ἡφαίστου παρ' Ὁμήρῳ λέλεκται [9]).

## CAPUT XXVIII.

Καὶ μὴν ἐπὶ τῆς δευτέρας ῥαψῳδίας, ἀνακομιζομένων τῶν Ἑλλήνων, Ὀδυσσεῖ διαποροῦντι παρέστηκεν οὐκ ἄλλη τις, ἀλλ' ἡ θεία φρόνησις [10]), ἣν Ἀθηνᾶν ὀνομάζει. Καὶ τὴν ἀποστελλομένην Ἶριν ἄγγελον τοῦ Διός, τὸν εἴροντα λόγον ὑφίσταται, ὥσπερ Ἑρμῆν τὸν ἑρμηνεύοντα· δύο γὰρ ἄγγελοι θεῶν, οὐδενὸς ἄλλου πλὴν ἐπώνυμοι τῆς κατὰ τὸν λόγον ἑρμηνείας [11]). Ἀλλ' ἀπρεπῶς [12]) Ἀφροδίτη μαστροπεύει πρὸς Ἀλέξανδρον

---

[1]) Ita A. et Schol. — Schow. ἀμφότερα.

[2]) Ita A. — Schow. et Schol. ἡλίῳ.

[3]) Schol. κοσμικήν τις ἀναμέτρησιν.

[4]) Schol. et Schow. ὃ μᾶλλον ἀληθές ἐστιν.

[5]) Fort. del. vocab. ἀνθρώποις. Post ἀνθρώποις apud Schol. εἶποι est insertum.

[6]) Schol. παράδοσιν.

[7]) Schol. ἀσεβές ἐστιν.

[8]) Schow. et Codd. ὑπέρ.

[9]) Schol. λεγόμενον. Explicit Schol. Hom. Il. A. 590.

[10]) Ita A. — Schow. οὐκ ἄλλη τις ἀληθείᾳ ἢ φρόνησις.

[11]) Cf. Schol. Il. Γ. 424, qui locus fugit Hasium.

[12]) Schol. τινὲς λέγουσιν, ὅτι ἀπρεπῶς.

'Ελένην. 1) ἀγνοοῦσι γάρ, ὅτι νῦν λέγει τὴν ἐν τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην. ἡ μεσῖτίς ἐστι καὶ διάκονος ἀεὶ μειρακιώδους 2) ἐπιθυμίας· αὕτη καὶ τόπον εὗρεν ἐπιτήδειον, ὅπου τὸν 'Ελένης δίφρον ἀφιδρύσει 3), καὶ ποικίλοις μαγγάνοις ἑκατέρων 4) κινεῖ τὸν πόθον, 'Αλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δ' 'Ελένης μετανοεῖν ἀρχομένης. διὸ δὴ κατ' ἀρχὰς ἀντειποῦσα, τοὔσχατον ὑπείκει, μεταξὺ δυοῖν φερομένη 5) παθῶν, ἔρωτός τε τοῦ πρὸς 'Αλέξανδρον, καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον.

## CAPUT XXIX.

6) Ἥ γε μὴν εὐωχουμένοις τοῖς θεοῖς 7) ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη, τίς ἂν εἴη, πλὴν ἡ διηνεκῶς 8) ἐν ταῖς ἁβροσύναις 9) νεότης; οὐδὲ 10) γὰρ ἐν οὐρανῷ 11) γῆρας, οὐδ' ὕπεστί τι τῆς θείας φύσεως ἔσχατον βίου νόσημα. πάσης δ' ἐξαιρέτως θυμηδίας, ὡσπερεὶ συνεκτικὸν ὄργανόν ἐστιν ἡ τῶν συνεληλυθότων ἐπὶ τὴν ἁβρο-

1) Schol. πρὸς τὸν 'Αλ. τὴν 'Ελ.
2) Schol. ἡ μεσῖτίς ἐστιν ἀεὶ καὶ διάκ. μειρ.
3) Schol. ἀφιδρεύσει.
4) Schol. ἑκάτερον. Fort. leg. ἑκατέρου.
5) Schol. δύο φερομένων.
6) Cf. Schol. Il. Δ. 2, qui locus fugerat Hasium.
7) Adieci τοῖς θεοῖς e Schol.
8) Fort. ἡ διάκονος.
9) Schow. εὐφροσύναις. — Schol. ἀφροσύναις.
10) Schow. et Schol. οὐδὲν. — Gal. MS. Angl. οὐδέ.
11) Schol. οὐρανῷ ἐστι.

σύνην [1]) ἀκμή [2]). Περὶ μέν γε τῆς [3]) Ἔριδος οὐδ' ὑπεσταλμένως ἠλληγόρησεν [4]), οὐδ' ὥστε δεῖσθαι λεπτῆς τινος εἰκασίας· ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὴν πεπόμπευκεν·

Ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει [a]).

διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεά τις οὕτω [5]) παντάπασιν τερατώδης ὑφ' Ὁμήρου μεμόρφωται, τὰς πρὸς ἑκάτερον [6]) μεταβολὰς τοῦ σώματος ἀπίστους [7]) ἔχουσα, καὶ ποτὲ μὲν ἐπὶ γῆς ἐρριμμένη ταπεινή [8]), ποτὲ δ' εἰς ἄπειρον αἰθέρος [9]) ἐκτειναμένη μέγεθος· ἀλλ', ὃ συμβέβηκεν ἀεὶ [10]) τοῖς φιλονεικοῦσι πάθος, ἐκ ταύτης τῆς ἀλληγορίας διετύπωσεν [11]). ἀρξαμένη [12]) γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις, ἐπειδὰν ὑποκινηθῇ, πρὸς μέγα δή τι κακὸν [13]) διογκοῦται.

---

[1]) Schow. εὐφροσύνην. — Schol. ἀφροσύνην.

[2]) Cf. Schol. Il. Δ. 440.

[3]) Schol. περὶ τῆς.

[4]) Schol. ἠλληγόρησεν Ὅμηρος.

[5]) Schol. οὕτω τις.

[6]) Schow. πρὸς ἑκατέρου. — Schol. πρὸ ἑκατέρου. — Heyn. πρὸς ἑκάτερον.

[7]) Schol. ἀπίστως.

[8]) Fort. delendum est vocabulum ταπεινή.

[9]) Vocabulum αἰθέρος addidi e Cod. A et e Schol.

[10]) Schol. ἀλλ' ὅπως (leg. ὅπερ) ἔθος συμβαίνειν.

[11]) Schol. ἐδήλωσεν. [12]) Schol. ἀρχομένη.

[13]) Schow. κακοῦ. V. Heyn. ad h. l.

[a]) Il. Δ. v. 442.

## CAPUT XXX.

Καὶ ταυτὶ μὲν ἴσως μετριώτερα. [1]) πολλὴ δὲ [2]) κατ' Ὁμήρου τραγῳδία σκηνοβατεῖται παρὰ τοῖς ἀγνωμόνως αὐτὸν ἐθέλουσι συκοφαντεῖν, ὅτι παρεισάγει κατὰ τὴν [3]) πέμπτην ῥαψῳδίαν τιτρωσκομένους θεούς, Ἀφροδίτην τὸ πρῶτον [4]) ὑπὸ Διομήδους, εἶτ' [5]) Ἄρην. προστιθέασι δὲ τούτοις, ὅσα κατὰ παρηγορίαν ἡ Διώνη περὶ τῶν ἔτι πρότερον ἠτυχηκότων [6]) ἀπαγγέλλει θεῶν. ἐν μέρει δ' ὑπὲρ ἑκάστου τὸν λόγον ἀποδώσομεν ἡμεῖς, οὐδεμιᾶς ἐκτὸς ὄντα φιλοσοφίας [7]). Διομήδης γάρ, Ἀθηνᾶν ἔχων σύμμαχον, τουτέστι τὴν φρόνησιν, ἔτρωσεν Ἀφροδίτην [8]), τὴν ἀφροσύνην· οὐ μὰ Δία, οὐ θεάν [9]) τινα, τὴν δὲ τῶν μαχομένων βαρβάρων ἀλογιστίαν. αὐτὸς μὲν γάρ, ἅτε διὰ πάσης ἐληλυθὼς πολεμικῆς μαθήσεως [10]), καὶ τοῦτο μὲν ἐν Θήβαις, τοῦτο δ' ἐν [11]) Ἰλίῳ δεκαετῆ χρόνον ἐμφρόνως τοῦ μάχεσθαι προϊστάμενος, ἐξ εὐμαροῦς [12]) διώκει τοὺς

[1]) Cf. Schol. Il. *E.* 336. Schowius vocabula καὶ ταῦτα μὲν ἴσως μετριώτερα in fine capitis praecedentis collocaverat. Quos inde ἀνάστατα ποιήσας tricesimi capitis a fronte addidi. Quae ab iis, quae sequuntur divelli nullo modo posse, quis admonitus dubitabit?

[2]) Schol. Πολλάκις ἡ.

[3]) Schol. τήνδε τήν.

[4]) Schol. πρότερον.

[5]) Schol. εἶτα.

[6]) Schol. ἀτυχησάντων.

[7]) Ita Schol. — Idem coniecerat Heynius. — Schow. ἐκτὸς ὄντος φιλ. — Cod. A, ut Schol.

[8]) Schol. ἤτοι τὴν ἀφρ.

[9]) Schol. μὰ Δία, θεάν τινα.

[10]) Schol. ἐληλυθὼς μαθήσεως.

[11]) Ita Cod. A. — Schol. et Schow. δὲ ἐν.

[12]) Schol. τ. μάχ. προϊστ. ἐμφρ., εὐμαρῶς.

βαρβάρους· οἱ δ', ἀναίσθητοι καὶ λογισμῶν ὀλίγα κοινωνοῦντες, ὑπ' αὐτοῦ διώκονται, καθάπερ

"Οἰες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ. [a])

πολλῶν οὖν φονευομένων, ἀλληγορικῶς Ὅμηρος τὴν βαρβαρικὴν ἀφροσύνην ὑπὸ Διομήδους τετρῶσθαι παρεισήγαγεν [1]).

## CAPUT XXXI.

Ὁμοίως δ' ὁ Ἄρης οὐδέν ἐστιν ἄλλο [2]), πλὴν ὁ πόλεμος, παρὰ τὴν ἀρὴν ὠνομασμένος, ἥπερ ἐστὶ [3]) βλάβη. γένοιτο δ' ἂν ἡμῖν τοῦτο σαφὲς ἐκ τοῦ λέγειν αὐτὸν μαινόμενον [4]), τυκτὸν κακὸν, ἀλλοπρόσαλλον [b]). ἐπιθέτοις γὰρ ἁρμόζουσι πολέμῳ κέχρηται μᾶλλον ἢ θεῷ· μανίας γὰρ εἰσι πλήρεις ἅπαντες οἱ μαχόμενοι, πρὸς τὸν κατ' ἀλλήλων φόνον ἐνθουσιαστικῶς ζέσαντες· καὶ τὸ ἀλλοπρόσαλλον [4]) ἑτέρωθί που διὰ πλειόνων ἐξηγεῖται, λέγων·

Ξυνὸς [5]) Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα [c]).

---

[1]) Schow. τετρῶσθαί φησιν ὑπὸ Διομήδους.

[2]) Schol. ἄλλος.

[3]) Schol. ἐστιν ἡ.

[4]) In Heracliti editionibus haec ita legebantur: μαινόμενον, τυκτὸν κακὸν, ἀλλοπρόσαλλον. ἑτέρωθί που. Orta est lacuna, dum librarii oculi a priore ἀλλοπρόσαλλον ad posterius aberrarent. Bonum factum, quod quae perierant vocabula, et apud Schol. Hom. asservabantur, et in Cod. A exstabant, e quo descripta primus publici iuris fecerat Bast. ad Greg. Corinth. p. 181. V. Bredow. Ep. Paris. p. 249.

[5]) Ita Cod. A. — Ante Schowium ξεινός legebatur.

a) Il. Δ. v. 433. b) Il. E. 831.

c) Cf. Il. Σ. 309.

νεμεσηταὶ γὰρ αἱ πολέμων ἐπ᾽ ἀμφότερα ῥοπαὶ, καὶ τὸ νικηθὲν οὐδὲ προσαντῆσαν αἰφνιδίως πολλάκις ἐκράτησεν [1]. ὥστε, τῆς ἐν ταῖς μάχαις ἀμφιβολίας ἄλλοτε πρὸς ἄλλους μεταφοιτώσης, ἐτύμως κακὸν ἀλλοπρόσαλλον προσείρηκε τὸν πόλεμον [2]. ἐτρώθη δ᾽ ὑπὸ Διομήδους Ἄρης, οὐ κατ᾽ ἄλλο [3] τι μέρος, ἀλλὰ

νείατον ἐς κενεῶνα [a].

σφόδρα πιθανῶς. ἐπὶ γὰρ τὰ κενὰ τῆς μὴ πάνυ φρουρουμένης τῶν [4] ἀντιπάλων τάξεως παρεισελθὼν, εὐμαρῶς ἐτρέψατο τοὺς βαρβάρους. καὶ μὴν χάλκεον λέγει τὸν Ἄρην, τὰς τῶν μαχομένων πανοπλίας ὑποσημαίνων· σπάνιος γὰρ ἦν ὁ σίδηρος ἐν τῷ πάλαι χρόνῳ. [5] τὸ δὲ σύμπαν ἐσκέποντο χαλκῷ. διὰ τοῦτό φησιν·

---

1) In sententia luce clariore duo sunt vocabula, quae manifesto labem contraxerunt, νεμεσηταί et προσαντῆσαν. De quibus Heynius: »νεμεσηταὶ ῥοπαὶ an ab ipso auctore venerint, dubito: videtur alia vox requiri, v. c. ἀνοικονόμητοι vel simile quid: *regi seu praevideri nequeunt.* Quicquid est, mox προσαντῆσαν forte dirimendum." Quae credat, qui poterit. Ampliare in talibus satius esse iudico, quam multa excogitare, quae potuit dixisse scriptor; quid enim debuerit dicere atque dixerit, haud facile arbitror indicatum iri. Pro νεμεσηταί fortasse scribendum est νεμεσητικαί. Est enim νεμεσητικός, ὃς λυπεῖται ἐπὶ τοῖς ἀναξίως εὖ πράττουσιν. — αἰφνιδίως scripsi pro αἰφνίδιον, Scholiastae auctoritate innisus.

2) *Schow.* εἴρηκε πρὸς τὸν πόλ.—*Schol.* et *Heyn.* εἴρηκε τὸν πόλ.

3) Ita Cod. A. et Schol. — Schow. οὐκ ἄλλο τι.

4) Addidi articulum e Cod. A. et Schol.

5) Schow. τῷ τότε πάλαι χρόνῳ. — Heyn. τῷ τότε χρόνῳ. — Schol. τῷ πάλαι χρόνῳ.

*a*) Il. *E.* v. 857.

Ὄσσε δ' ἄμερδεν [1])
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων,
θωρήκων τε νεοσμήκτων. [a])

ἀναβοᾷ δὲ τρωθεὶς,

ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι. [b])

Καὶ τοῦτο δὲ τεκμήριον πολλῶν διωκομένων [2]) πολεμίων· οὐ γὰρ ἂν εἷς θεὸς ἀνεβόησε τοσοῦτον, ἀλλ' ἡ φεύγουσα μυρίανδρος, οἶμαι, τῶν βαρβάρων φάλαγξ. ὥστ' ἐναργέσι τεκμηρίοις καὶ διὰ τῶν κατὰ μέρος ἐδείξαμεν, οὐ τὸν Ἄρην τετρωμένον 3) ὑπὸ Διομήδους, ἀλλὰ τὸν πόλεμον 4).

## CAPUT XXXII.

Αὗται δ' ἐν παρεκβάσει τῶν προτέρων ἀλληγοριῶν, δι' ὧν καὶ τεχνικωτέραν ἔχουσιν ἐμπειρίαν 5), ἐν οἷς φησί·

---

[1]) A. ὄσσαι δ' ἄμερδεν. — Schol. δ' ἄμεργεν.

[2]) Schol. διωκομένων ἐν τῷ πολέμῳ πολεμίων.

[3]) Schow. et Schol. οὐκ Ἄρην τὸν τετρωμένον.

[4]) Fortasse legendum est τοὺς πολεμίους.

[5]) Pro ἐν παρεκβάσει Schol. habet αἱ παρεκβάσεις. καὶ post δι' ὧν addidi suadente Cod. A. Non audiendus est Schowius, qui intricatissimam explicandi impediti sane loci rationem excogitavit, textu hunc in modum constituto: αὗται δ' ἐν παρεκβάσει, τῶν προτέρων ἀλληγοριῶν τεχνικωτέραν ἔχουσιν ἐμπειρίαν. Quae ita ipse interpretatur: »Hae vero allegoriae, quae per digressionem episodicam ab Homero enarratae, a me iam pertractatae sunt, habent structuram magis artificiosam, quam eae, quas supra tractavi, allegoriae." De quibus valet illud Synesii νοῦ μὲν αὐχμὸς, λέ-

a) V. Il. *N*. v. 340 sqq. b) V. Il. *E*. v. 859.

*Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,*
*Παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ.* a)

2) γεννικοὶ γὰρ οὗτοι καὶ κατ' ἀλκὴν ἰσχυροὶ νεανίαι

---

ξεως δ' ἐπομβρία. Vocabulum αὗται Schowius ad omnes, quae deinceps sequuntur, refert allegorias, quum mihi unam de Aloidis fabulam indicasse videatur scriptor his vocabulis: αὗται δ' αἱ παρεκβάσεις τῶν προτέρων ἀλληγοριῶν, δι' ὧν καὶ τεχνικωτέραν ἔχουσιν ἑρμήνειαν. Quae ita interpretor: *Quae iam sequuntur* (nec est, cur in eo haereamus, quod αὗται, nec quod dicere debebat, αἱ δέ, scripserit Heraclitus) *ad superiores allegorias sunt tamquam excursus; unde (a quibus) etiam magis consentaneam nanciscuntur interpretationem;* h. e. episodium de Oto et Ephialte allegoriarum de Marte est veluti pars neque bene explicari potest, nisi adhibitis iis, quae de ipso Marte in superioribus sunt exposita. Neque mirum, quod plurali παρεκβάσεις usus sit. Ita enim solent. Cf. Diod. Sic. I. 37 ἵνα μὴ μακρὰς ποιῶμεν τὰς παρεκβάσεις.

1) Praestantissimis usus Cod. A. atque Schol. lectionibus redintegravi hunc de Aloidis locum, qui, quomodo vulgo edebatur, recte neque intelligi potuit, neque explicari. Quod quo manifestius appareat, textum proponam, quomodo in Schowiana editione exstat: γενικοὶ γὰρ οὗτοι οἱ κατ' ἀλκὴν νεανίαι ταραχῆς καὶ πολέμου μεστὸν ᾔδεσαν τὸν βίον, οὐδεμιᾶς εἰρηνικῆς ἀναπαύσεως μέσης τοὺς παρ' ἕκαστα κάμνοντας ἀνοίης, ἰδίοις ὅπλοις ἐκστρατευσάμενοι τὴν ἐπιπολάζουσαν ἀηδίαν ἀνέστηλαν· ἄχρι μὲν οὖν τρισκαίδεκα μηνῶν, ἀκλινὴς καὶ ἀστασίαστος αὐτῶν ὁ οἶκος, ἐν ὁμονοίᾳ τε τὴν εἰρήνην διεστρατήγει· μητρυιὰ δὲ παρεισπεσοῦσα καὶ φιλόνεικος οἰκίας νόσος ἀνέτρεψε τὴν προτέραν εὐστάθειαν. In quibus sine codicum auctoritate nil mutavi, nisi quod sustuli οἶκον illum, τὴν εἰρήνην διαστρατηγοῦντα, insertis vocabulis τ' ἦν, atque διεστρατήγει in διεστρατήγουν correcto. Praeterea pro προτέραν scripsi πρότερον.

a) V. Il. *E.* v. 385.

γεγονότες, ἐπειδὴ ταραχῆς καὶ πολέμου μεστὸν ᾔδεσαν τὸν βίον, οὐδεμιᾶς εἰρηνικῆς ἀναπαύσεως μέσης τοὺς παρ' ἕκαστα κάμνοντας ἀνιείσης, ἰδίοις ὅπλοις ἐκστρατευσάμενοι, τὴν ἐπιπολάζουσαν ἀηδίαν ἀνέστειλαν. ἄχρι μὲν οὖν τρισκαίδεκα μηνῶν ἀκλινής τ' ἦν καὶ ἀστασίαστος αὐτῶν ὁ οἶκος, ἐν ὁμονοίᾳ τε τὴν εἰρήνην διεστρατήγουν· μητρυιὰ δὲ παρεισπεσοῦσα φιλόνεικος, οἰκίας νόσος, ἀνέτρεψε πάντα καὶ διέφθειρε τὴν πρότερον εὐστάθειαν· ἐκ δευτέρου [1]) δὲ πάλιν, ὁμοίας ταραχῆς ἀναφθείσης, ἔδοξεν ὁ Ἄρης ἀπὸ τοῦ δεσμωτηρίου λελύσθαι [2]) [τουτέστιν ὁ πόλεμος]. [3])

## CAPUT XXXIII.

Ἡρακλέα δὲ νομιστέον οὐκ ἀπὸ σωματικῆς δυνάμεως ἀναχθέντα [4]) τοσοῦτον ἰσχῦσαι [5]) τοῖς τότε [6]) χρόνοις. ἀλλ' ἀνὴρ ἔμφρων καὶ σοφίας οὐρανίου μύστης γεγονὼς [7]), ὡσπερεὶ κατὰ βαθείας [8]) ἀχλύος ὑποδεδυκυῖαν [9]) ἐφώτισε τὴν φιλοσοφίαν [10]), καθ' ἅπερ ὁμολογοῦσι καὶ Στωικῶν

---

[1]) Schol. δευτέρας. [2]) Schol. λυθῆναι.

[3]) Vocabula uncis inclusa a recentiore manu videntur esse addita. Nam sunt non solum supervacanea, sed etiam absurda.

[4]) Neque intelligo, quid significare possit hoc loco vocabulum ἀναχθέντα, neque certam corrupti loci emendationem possum proponere. Fortasse una litura delendum est vocabulum, tamquam per διττογραφίαν ortum e vocabulo ἀναφθείσης, quod est in praecedentis capitis fine.

[5]) Schow. ἰσχύσαι.

[6]) Ita Schol. — Schow. τοῖσδε χρόνοις.

[7]) Schow. μύστης, ὡσπερεί. Veram lectionem praebet Schol.

[8]) Schol. βαθείης.

[9]) ὑποδεδ. Heynius. Vulgo ἐπιδεδυκυῖαν.

[10]) Schol. τὴν οἰκουμένην.

οἱ δοκιμώτατοι [1]. περὶ μὲν οὖν τῶν ἄλλων ἄθλων, ὁπόσοι τῆς παρ' Ὁμήρῳ μνήμης ὑστεροῦσι, τί δεῖ παρὰ καιρὸν ἐκμηκύνειν φιλοτεχνοῦντας; ὅτι κάπρον [2] μὲν εἷλε, τὴν ἐπιπολάζουσαν ἀνθρώποις ἀκολασίαν, λέοντα δὲ, τὴν ἀκρίτως ὁρμῶσαν ἐφ' ἃ μὴ δεῖ φορὰν, κατ' αὐτὸ δὲ θυμοὺς ἀλογίστους [3] πεδήσας, τὸν ὑβριστὴν ταῦρον ἐνομίσθη δεδεκέναι· δειλίαν γε μὴν ἐφυγάδευσεν ἐκ τοῦ βίου, τὴν Κερυνείαν [4] ἔλαφον. καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος ἐκμεμόχθηται διακαθήραντος αὐτοῦ τὴν πολύχουν κόπρον, ἐπιτρέχουσαν ἀνθρώποις ἀηδίαν. ὄρνις δὲ, τὰς ὑπηνέμους ἐλπίδας, αἳ βόσκουσι τὸν βίον ἡμῶν, ἀπεσκέδασέ τε καὶ τὴν πολυκέφαλον ὕδραν, τὴν ἡδονὴν, ἥτις, ὅταν ἐκκοπῇ, πάλιν ἄρχεται βλαστάνειν, ὥσπερ διὰ πυρός τινος τῆς παραινέσεως ἐξέκαυσεν [5]. αὐτός

---

[1]) Schol. δοκιμώτεροι.

[2]) Schow. κόπρον. Verum vidit Heynius, cuius emendationem confirmat insuper Schol. auctoritas.

[3]) Schol. ἀλόγους.

[4]) Ita scripsi e certissima Munckeri emendatione ad Hyg. Fab. p. 72. Cf. Callim. H. in Dian. 109; Apollod. II. 5. 5. — Schow. κεραυνίαν.

[5]) Proponam Schowii textum: *καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος ἐκμεμόχθηται, διακαθήραντος αὐτοῦ τὴν ἐπιτρέχουσαν ἀηδίαν. ὄρνεις δὲ, τὰς συννηνέμους ἐλπίδας, αἳ βόσκουσι τὸν βίον ἡμῶν, ἀπεσκέδασε δὲ καὶ τὴν πολύχουν κόπρον, καὶ τὴν πολυκέφαλον ὕδραν, ἥτις ὅταν ἐκκοπῇ πάλιν ἄρχεται βλαστάνειν, ὥσπερ ὕδραν τινὰ διὰ πυρὸς τῆς παραινέσεως ἐξέκοψεν.* Genuinam textus formam scholia praebent, aliquot locis opitulatur Cod. A. In eo tantum proprium meum secutus sum iudicium, quod vocabulis τὴν πολύχουν κόπρον, in alienum locum translatis, proprium locum assignavi; ὑπηνέμους scripsi ex Hemsterhusii emendatione, ad Lucian. Tom. II. p. 419 ed. Bipont. Cod. A. συννηνέμους;

γε μὴν ὁ τρικέφαλος δειχθεὶς ἡλίῳ κέρβερος εἰκότως ἂν τὴν τριμερῆ φιλοσοφίαν ὑπαινίττοιτο [1]. τὸ μὲν γὰρ αὐτῆς λογικὸν, τὸ δὲ φυσικὸν, τὸ δὲ ἠθικὸν ὀνομάζεται· ταῦτα δ', ὥσπερ ἀφ' ἑνὸς αὐχένος [2]) ἐκπεφυκότα, τριχῆ κατὰ τὴν κεφαλὴν [3]) μερίζεται.

## CAPUT XXXIV.

Περὶ μὲν δὴ τῶν ἄλλων [4]), ὥσπερ εἶπον, ἄθλων, ἐν συντόμῳ δεδήλωται. τετρωμένην δ' Ὅμηρος ὑπεστήσατο τὴν Ἥραν, τοῦτο ἀκριβῶς παραστῆσαι βουλόμενος, ὅτι τὸν θολερὸν ἀέρα, καὶ πρὸ τῆς ἑκάστου διανοίας ἐπαχλύοντα [5]), πρῶτος Ἡρακλῆς, θείῳ χρησάμενος λόγῳ, διώρθρωσε [6]), τὴν ἑκάστου τῶν ἀνθρώπων ἀμαθίαν πολλαῖς νουθεσίαις κατατρώσας [7]). ὅθεν ἀπὸ γῆς εἰς

---

Schol. συνανέμους. Heraclito, quum scriberet ἐλπίδας, αἳ βόσκουσι τὸν βίον ἡμῶν, haud dubie obversabatur Euripidis versus in Phoen. 399,

αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.

1) Ita Schol. — Schow. ὑπαινίττεται.

2) Ita Cod. A. et Schol. — Ante Schowium edebatur ἀφ' ἑνὸς ἐκπεφυκότα.

3) A. et Schol. κατὰ κεφαλήν.

4) Schol. ἄλλων ἄθλων.

5) Non intelligo vocabula καὶ πρὸ τῆς ἑκάστου διανοίας ἐπαχλύοντα, neque scio, quo modo possint emendari. Schol. pro ἐπαχλ. exhibet ὑπαχλ.

6) διώρθρωσε edidi ex felici Schowii emendatione. Vulgo διήρθρωσε.

7) Post κατατρώσας sequuntur apud Schol. haecce vocabula satis insignia: τὰ δὲ λοιπὰ ζητήματα (l. ζήτει) ἔμπροσθεν εἰς (l. εἰς τὸ) τλῆ δ' Ἥρη et iam omittuntur, quae apud Heraclitum exstant

οὐρανὸν ἀφίησι τὰ τόξα [1]. πᾶς γὰρ ἀνὴρ [2] φιλόσοφος ἐν θνητῷ καὶ [3] ἐπιγείῳ τῷ [4] σώματι πτηνὸν ὥσπερ τι βέλος, τὸν νοῦν, εἰς τὰ μετάρσια διαπέμπεται [5]. τεχνικῶς δὲ προσέθηκεν εἰπών· ἰῷ τριγλώχινι βαλών. ἵνα διὰ συντόμου τὴν τριμερῆ φιλοσοφίαν ὑπὸ τοῦ τριγλώχινος ὑποσημήνῃ βέλους [6]. Μεθ' Ἥραν δὲ τετόξευκε καὶ τὸν Ἅιδην [7]. οὐδεὶς γὰρ ἄβατος φιλοσοφίᾳ χῶρος. ἀλλὰ μετὰ τὸν οὐρανὸν [8] ἐζήτηκε [9] τὴν κατωτάτω φύσιν, ἵνα μηδὲ τῶν νέρθεν ἀμύητος ᾖ [10]. τὸν οὖν

---

ab ὅθεν ἀπό usque ad ὥσθ' Ἡρακλέους. Indicat enim, qui alter supervenit scholiasta, nolle se acta agere, eadem repetendo, quae iam exstarent in Scholio ad Il. E. 392. Quod a prima manu in prima margine scriptum, sub lemmate τλῆ δ' Ἥρα re vera vocabula continet, quae hoc loco desiderantur.

1) Schol. βέλη. 2) Om. ap. Schol.

3) θνητῷ καὶ om. ap. Schol. 4) τῷ om. ap. Schol.

5) Satis singularis h. l. verbi διαπέμπεται usus; exspectares ἀνίεται vel simile quid; neque διαπέμπεται ab ipso Heraclito scriptum esse censeo.

6) Cf. Damasc. π. ἀρχ. p. 309 (ed. Kopp.): καὶ μήποτε διὰ τοῦτο τριγλώχις ἀνυμνεῖται ὁ θεός, οὐχ ὅτι τριάδων ὑποστάτης, μᾶλλον δὲ ἀντεπιτακτικὸς τῆς τριαδικῆς διαιρέσεως, ἀλλ' οὐχὶ ποιητικός.

7) Haec omnia συντόμως ita leguntur ap. Scholiastam: διὰ δὲ τοῦ τριγώνου βέλους ἡ τριμερὴς ἡμῖν φιλοσοφία δεδήλωται· μετὰ δὲ Ἥραν τοξεύει Ἅιδην.— Schowius μεθ' ἡμέραν, quod est etiam in Codd.

8) Ita Schol. — Schow. μετ' οὐρανόν.

9) Schow. ἐζήτησε.

10) Pro vocabulis ἵνα μηδὲ τῶν νέρθεν ἀμύητος ᾖ apud Scholiastam haec inveniuntur: διὸ καὶ ἀνεληλυθέναι τὸν Ἅιδην φησὶ, μονονουχὶ συνάπτων ἄμφω τὰς γνώμας.

ἀλαμπῆ καὶ πᾶσιν ἀνθρώποις ἄβατον ᾅδην ὁ τῆς σοφίας οἰστὸς, εὔστοχα βληθεὶς, διευκρίνησεν [1]· ὥσθ' αἱ Ἡρακλέους [2]) χεῖρες ἁγνεύουσι παντὸς Ὀλυμπίου μύσους. ἀρχηγὸς δὲ πάσης σοφίας γενόμενος Ὅμηρος [3]), ἀλληγορικῶς παρέδωκε τοῖς μετ' αὐτὸν ἀρύσασθαι κατὰ μέρη [4]) πάνθ', ὅσα πρῶτος πεφιλοσόφηκε.

## CAPUT XXXV.

[5]) Νομίζουσι τοίνυν ἔνιοι [6]) μηδὲ Διόνυσον εἶναι παρ' Ὁμήρῳ θεόν. ἐπειδήπερ ὑπὸ Λυκούργου διώκεται, καὶ μόλις δοκεῖ σωτηρίας τυχεῖν, Θέτιδος αὐτῷ παραστάσης. τὸ δ' ἐστὶν οἴνου συγκομιδῆς γεωργικὴ [7]) ἀλληγορία, δι' ὧν φησίν·

Ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
Σεῦε κατ' ἠγάθεον Νυσήιον· αἱ δ' ἅμα πᾶσαι
Θύσθλα χαμαὶ κατέχευον [8]), ὑπ' ἀνδροφόνοιο Λυκούργου
Θεινόμεναι βουπλῆγι. Διώνυσος δὲ φοβηθείς
Δύσεθ' ἁλὸς κατὰ κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ
Δειδιότα [a]).

---

[1]) Incipit denuo Schol. Il. *E*. 336.
[2]) Schow. ὥσθ' Ἡρακλέους. — αἱ addidi ex A. et Schol.
[3]) Ὅμηρος addidi e Scholiasta.
[4]) Schol. ἀρρύσασθαι πάνθ'.
[5]) Cf. Schol. Il. *Z*. 132.
[6]) Schol. νομίζουσί τινες.
[7]) Ita Schol. — Schow. γεωργοῖς.
[8]) Ita Edd. et Codd. omnes. — Apud Homerum κατέχευαν.
[a]) V. Il. *Z*. v. 132 sqq.

μαινόμενον μὲν εἴρηκε Διόνυσον ἀντὶ τοῦ οἴνου 1)· ἐπειδήπερ οἱ πλείονι 2) τῷ ποτῷ χρώμενοι τοὺς λογισμοὺς 3) διασφάλλονται. ὥσπερ τὸ δέος, εἰ τύχοι, χλωρὸν λέγει, καὶ πευκεδανὸν τὸν πόλεμον 4)· ἃ γὰρ ἀπ' αὐτῶν συμβαίνει, ταῦτα ἐκείνοις περιῆψεν 5), ὅθεν ἄρχεται τὰ πάθη. τιθήνας δὲ νομίζειν δεῖ τὰς ἀμπέλους 6). Λυκοῦργος δ', ἀνὴρ εὐαμπέλου 7) λήξεως δεσπότης, μετὰ τὴν ὀπωρινὴν ὥραν, ὅτε συγκομιδὴ τῶν διονυσιακῶν καρπῶν ἐστὶν, ἐπὶ τὴν εὐφορωτάτην ἐξεληλύθει Νύσαν 8). καὶ μετὰ τοῦτο, ἔτι δρεπομένων τῶν βοτρύων φησί· Διώνυσος δὲ φοβηθείς· ἐπειδήπερ ὁ μὲν φόβος εἴωθε τρέπειν τὴν διάνοιαν. ὁ δὲ τῆς σταφυλῆς καρπὸς τρέπεται 9) θλιβόμενος εἰς οἶνον. ἔθος γε μὴν 10) τοῖς πολλοῖς, ἐπὶ φυλακῇ τοῦ διαμένειν ἀκλινῆ τὸν καρπὸν, ἐπικιρνάναι 11) θαλαττίῳ ὕδατι· παρὰ τοῦτο ὁ Διόνυσος

Δύσεθ' ἁλὸς κατὰ κῦμα a).

---

1) Schow. μαινόμενον μὲν εἴρηκεν ἀντὶ Διονύσου τὸν οἶνον.

2) Ita A. — Schow. et Schol. πλείονες τῷ.

3) Schow. τοῦ λογισμοῦ.

4) Schol. καὶ πευκεδανὸν εἰ τύχῃ καὶ χλωρὰν λέγει τὸν πόλεμον. Schow. πόλεμον sine articulo. — A. τὸν πόλεμον.

5) Schol. εἴρηκε περιάψας.

6) Haec vocabula, τιθήνας — ἀμπέλους, posteriore sed inepto loco post ἐξεληλύθει Νύσαν collocata huc transtuli, quo necessario pertinent.

7) Schol. καὶ ἀμπέλου.

8) Schol. Νύσσαν.

9) Schol. τρεπόμενος.

10) Schol. ἔθος γάρ.

11) Schol. τὸν οἶνον ἐπικιρνᾶν.

a) V. Il. Z. v. 136.

Θέτις δ'ὑπεδέξατο κόλπῳ, ἡ τελευταία μετὰ τὴν ἀπόθλιψιν τοῦ καρποῦ θέσις [1]. αὕτη γὰρ ἐσχάτη δέχεται τὸν οἶνον· δειδιότα δέ, διὰ τὸν [2]) ἐν ἀρχῇ τοῦ νεοθλιβοῦς γλεύκους παλμόν [3]), καὶ τὴν μεθαρμόζουσαν ὁρμήν· δέος εἶπε γὰρ τὸν τρόμον [4]). οὕτως [5]) Ὅμηρος οὐ φιλοσοφεῖν μόνον ἀλληγορικῶς, ἀλλὰ καὶ γεωργεῖν [6]) ἐπίσταται.

## CAPUT XXXVI.

[7]) Φυσικῆς δ' ἅπτεται [8]) θεωρίας καὶ ὅταν ὁ Ζεύς, εἰς τὸ αὐτὸ συναθροίσας τοὺς θεοὺς [9]) ἅπαντας, ἄρχηται [10]) τῶν μεγάλων ἀπειλῶν, καθήμενος [11])

Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο [a]).

πρῶτος ἕστηκεν αὐτός· ἐπειδὴ τὴν ἀνωτάτω τάξιν, ὥσπερ ἐδηλοῦμεν, ἡ αἰθεριώδης [12]) ἐπέχει φύσις. σειρὰν δ' ἀπηρ-

---

1) Ut sana evadat sententia, mutavi interpunctionem atque disiunxi versum Homericum in duas partes.

2) Schow. et Codd. τὸν οἶνον, δειδιότα τόν. — Schol. τὸν οἶνον διότι τόν.

3) Schol. παλαιόν.

4) Schol. δέος εἶπε καὶ τρόμον. — A. δέος εἶπε γὰρ τρόμον.

5) Schol. ὁ Ὅμηρος.

6) Schow. γεωργεῖν θεωρητικῶς. — A. γεωργεῖν θεωρεῖν. — Schol. θεωρεῖν.

7) Cf. Schol. Il. Θ. 3, quod falso Porphyrio tribuitur.

8) Schol. φυσικῆς ἐξάπτεται.

9) A. τοὺς θ. ἅπ. — Schol. ἅπ. τ. θ. — Schow. ἅπαντας.

10) Ita A. et Schol. — Schow. ἄρχεται.

11) Hoc vocabulum addidi e Schol.

12) Ita Schol. — Schow. αἰθριώδης.

a) Cf. Il. Θ. v. 3.

τησεν ἀπὸ τοῦ αἰθέρος ἐπὶ πάντα χρυσῆν [1]. οἱ γὰρ δεινοὶ τῶν φιλοσόφων περὶ ταῦτα, ἀνάμματα [2]) πυρὸς εἶναι τὰς τῶν ἀστέρων περιόδους [3]) νομίζουσι· τὸ δὲ σφαιρικὸν ἡμῖν τοῦ κόσμου σχῆμα δι' ἑνὸς ἐμέτρησε στίχου [4])·

Τόσσον ἔνερθ' αἴδεω, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης. [a])

μεσαιτάτη γὰρ ἁπάντων ἑστία τις οὖσα [5]), καὶ δύναμιν κέντρου [6]) ἐπέχουσα, καθίδρυται βεβαίως ἡ γῆ πᾶσα. κύκλῳ δ' ὑπὲρ αὐτὴν ὁ [7]) οὐρανὸς, ἀπαύστοις περιφοραῖς εἰλούμενος, ἀπ' ἀνατολῆς εἰς δύσιν τὸν ἀεὶ δρόμον ἐλαύνει [8]). συγκαθέλκεται δ' ἡ τῶν ἀπλανῶν σφαῖρα. πᾶσαί γε μὴν αἱ ἀπὸ τοῦ περιέχοντος ἄνω καὶ κάτω κύκλου φορούμεναι πρὸς τὸ κέντρον εὐθεῖαι, κατ' ἀναγωγάς εἰσιν ἀλλήλαις ἴσαι [9]). διὰ τοῦτο γεωμετρικῇ θεωρίᾳ

---

1) Om. ap. Schol. vocabulum χρυσῆν.

2) Heynius ἅμματα. — Frustra. Vid. Plut. d. Plac. Phil. II. 20.

3) Schol. περιό (with ά above)

4) Addit Schol. εἰπών.

5) Schol. ἑστία δέ τις οὖσα omissis vocabulis μεσ. γ. ἀπ.

6) Schol. κέντρου δύν.

7) Articulum addidi, Schol. secutus vestigia.

8) Usque eo Villois. et Hasius. Sed exstant in Codice Ven. B, quae deinceps sequuntur, usque ad cap. 37.

9) Emendare conatus sum satis proclivi mutatione pro virili parte, quae apud Schow. aeque vitiose sunt edita, ac in Codd. leguntur; in quibus haec inveniuntur: πᾶσαί γε μὴν, αἱ ἀπὸ τοῦ περιέχοντος ἀνωτάτω κυκλοφορούμεναι πρὸς τὸ κέντρον, εὐθεῖαι καὶ κατ' ἀναγωγάς εἰσιν ἀλλήλαις ἴσαι.

a) V. Il. Θ. v. 16.

τὸ σφαιρικὸν σχῆμα διεμέτρησεν, εἰπών·

Τόσσον ἔνερθ' αἴδεω, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.

## CAPUT XXXVII.

1) Ἔνιοι δ' εἰσὶν οὕτως 2) ἀμαθεῖς, ὥστ' αἰτιᾶσθαι τὸν Ὅμηρον καὶ περὶ τῶν Λιτῶν, εἰ 3) τὰς Διὸς γονὰς οὕτως ὕβρισε, διάστροφον αὐταῖς περιθεὶς 4) ἀμορφίας χαρακτῆρα·

Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε, ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ [a]).

ἐν δὲ τούτοις τοῖς ἔπεσι τὸ τῶν ἱκετευόντων σχῆμα διαπέπλασται. πᾶσα γὰρ οὖν συνείδησις ἁμαρτόντος ἀνθρώπου βραδεῖα, καὶ μόλις οἱ δεόμενοι τοῖς ἱκετευομένοις προσέρχονται 5), τὴν αἰδῶ κατὰ ῥῆμα μετροῦντες 6). οὔτε μὴν ἀτρεμὲς δεδόρκασιν, ἀλλ' ὀπίσω τὰς τῶν ὀμ-

---

1) V. Schol. Il. *I.* 499.

2) Schol. οὕτως εἰσίν.

3) Vulgo h. l. εἰς edebatur; vera lectio, quam Schow. e MS. Angl. reposuerat, etiam in A. et ap. Schol. apparet.

4) Schol. περί.

5) Schol. προσια (σ supra scriptum)

6) Subobscura haec vocabula αἰδῶ κατὰ ῥῆμα μετροῦντες versus speciem prae se ferunt. — Heyn. κατὰ τὴν αἰδῶ ῥήματα μετροῦντες. — Wetsten. ad Luc. XV. 20 commendat τὴν αἰδῶ κατὰ βῆμα μετροῦντες, cuius coniecturae vim haud prorsus perspicio.

*a*) Cf. Il. *I.* 502.

μάτων βολὰς ἀποστρέφουσι· καὶ μὴν ἔν γε τοῖς πρώτοις οὐδὲν γεγηθὸς τῶν ἱκετευόντων ἡ διάνοια περιτίθησιν ἔρευθος, ἀλλ' ὠχροὶ καὶ κατηφεῖς, διὰ πρώτης τῆς ὄψεως ἐκκαλούμενοι τὸν ἔλεον [1]. ὅθεν εὐλόγως οὐ τὰς Διὸς θυγατέρας, ἀλλὰ τοὺς ἱκετεύοντας ἀπεφήνατο,

Χωλούς τε ῥυσούς τε, παραβλῶπάς τ' ὀφθαλμώ,

τοὔμπαλιν [a]) δὲ τὴν Ἄτην, σθεναράν [2]) τε καὶ ἀρτίπουν. κρατερὸν γὰρ αὐτῆς τὸ ἄφρον. ἀλογίστου γὰρ ὁρμῆς ὑπόπλεως, δρομὰς ὥς, ἐπὶ πᾶσαν ἀδικίαν ἵεται [3]). παθῶν οὖν ἀνθρωπίνων ὡσπερεὶ ζωγράφος Ὅμηρός [4])

[1]) Quomodo vulgo edita sunt haec vocabula atque exstant in codicibus, intelligi omnino nequeunt. Opitulatur quodammodo Schol., apud quem haec inveniuntur: οὐδὲ γεγηθὸς ἐν τῇ διανοίᾳ τῶν ἱκετευόντων περιτίθησιν ἔρευθος; porro ὠχροί, κατηφεῖς, ἐκκαλούμενοι pro vulgato ὠχρά, κατηφής, ἐκκαλουμένη. Τῆς πρώτης absurdum est, quod nil moratus in πρώτης τῆς mutavi. Fortasse, eiectis vocabulis τῶν ἱκετευόντων ἡ διάνοια, tamquam glossemate ab eo addito, qui subiectum, quod vocant, desideraret, receptaque Heynii coniectura, quae collato Cornuti loco c. 12 pulchre confirmatur, ita sententia est refingenda: καὶ μὴν ἔν γε τοῖς προσώποις οὐδὲν γεγηθὸς περιτίθησιν ἔρευθος, αλλ' ὠχροὶ κτέ. Pro lubitu enim Heracliti temporibus vocabulo περιτιθέναι utebantur, quod tantum non eodem modo adhibebatur, quo παρέχειν apud Atticos. Universam vero sententiam ita iam verto: Neque rubor ullam laetitiae speciem faciei praebet, sed pallidi sunt vultuque demisso, primo obtutu misericordiam elicientes.

[2]) Schol. κρατεράν.

[3]) A. ᾤετο. — Schol. ἵεται.

[4]) Schol. ἐστιν Ὅμηρος.

[a]) V. Il. *I*. v. 504.

ἐστιν, ἀλληγορικῶς τὸ συμβαῖνον ἡμῖν θεῶν περιθεὶς ὀνόμασιν.

## CAPUT XXXVIII.

[1]) Οἶμαι δ' ἔγωγε καὶ τὸ ἑλληνικὸν τεῖχος, ὃ πρὸς καιρὸν ἔρυμα τῆς ἰδίας ἀσφαλείας ἐπύργωσαν, οὐχ ὑπὸ τοῦ συμμάχου καθῃρῆσθαι Ποσειδῶνος, ἀλλ' ὡς [2]) ὑετοῦ δαψιλοῦς γενομένου, καὶ τῶν ἀπ' Ἴδης ποταμῶν πλημμυράντων, συνέβη κατερειφθῆναι [3]). ὅθεν ἐπώνυμος τοῦ πάθους γέγονεν ὁ τῆς ὑγρᾶς φύσεως προστάτης Ποσειδῶν. εἰκὸς δὲ καὶ σεισμοῖς διατιναχθὲν ὑπονοστῆσαι τὸ κατασκεύασμα· δοκεῖ δ' ὁ Ποσειδῶν ἐννοσίγαιος καὶ σεισίχθων εἶναι, τοῖς τοιούτοις τῶν παθημάτων ἐπιγραφόμενος [4]). ἀμέλει φησὶν [5])·

Αὐτὸς δ' Ἐννοσίγαιος, ἔχων χείρεσσι τρίαιναν,
[6]) ἡγεῖτ'· ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε
φιτρῶν καὶ λάων, τὰ θέσαν μογέοντες Ἀχαιοί [a]),

σεισμοῦ τινος φορᾷ διαδονήσας ἐκ βάθρων τὰ τοῦ τείχους θεμέλια. δοκεῖ δέ [7]) μοι, λεπτῶς ἐξετάζοντι τὰ τοιαῦτα [8]), μηδὲ τὸ κατὰ τὴν τρίαιναν ἀφιλοσόφητον εἶναι,

---

[1]) Cf. Schol. Il. *M.* v. 27.

[2]) Schol. ὑπό.

[3]) A. et Schow. καταρριφῆναι. — Schol. καταρριφθῆναι.

[4]) Schow. ἐπιγραψάμενος. — A. ἐπιγραψόμενος.

[5]) Schol. καί φησιν ὁ ποιητής.

[6]) Desunt iam in Codice Ven. B. nonnulla usque ad δοκεῖ δέ μοι. Abscissa enim est folii pars superior.

[7]) Om. δέ ap. Schol.

[8]) Om. τὰ τοιαῦτα ap. Schol.

[a]) V. Il. *M.* v. 27 sqq.

δι' ἧς ὑφίσταται τοὺς λίθους ἀναμεμοχλεῦσθαι 1) τοῦ τείχους. τὰ γάρ τοι σεισμῶν διαφέροντα τοῖς παθήμασιν οἱ φυσικοὶ λέγουσιν εἶναι, ὅσον 2) καί τινας ἰδίους χαρακτῆρας ὀνομάτων ἐπιγράφουσιν αὐτοῖς, βρασματίαν τινὰ καὶ χασματίαν καὶ κλιματίαν 3) προσαγορεύοντες. τριπλαῖς οὖν καθώπλισεν ἀκμαῖς 4) τὸν τῶν σεισμῶν αἴτιον θεόν· ἀμέλει, πρὸς βραχὺ κινηθέντος αὐτοῦ 5),

Τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη a),

τὸ τῶν σεισμῶν ἰδίωμα τοῦ ποιητοῦ διασημήναντος ἡμῖν.

## CAPUT XXXIX.

6) Ἔτι τοίνυν 7) πολλήν τινα χλεύην, καὶ μακρὸν ἡγοῦνται καταγέλων 8), τοὺς ἀκαίρους Διὸς ὕπνους ἐν

1) Schol. ἀναμοχλεῦσαι.

2) Schol. et A. λέγουσιν ἴσα καί. Fort. omnis sententia ita est constituenda: Τρία γὰρ εἴδη σεισμῶν διαφέροντα τοῖς παθ. οἱ φυσικοὶ λέγουσιν εἶναι, καὶ κτέ.

3) Ita cum Schol. A. — Schow. βρασματίαν τινὰ καὶ κληματίαν προσαγορεύοντες. Heynius, qui recte intellexerat, pro κληματίαν legendum esse κλιματίαν, quique haud minus recte similem huius correxerat Eustathii locum p. 890, 56, eandem, qua Eustathium persanaverat, Heracliti loco medicinam afferre praetervidit.

4) Schol. αἰχμαῖς.

5) Schol. κινηθέντων αὐτῶν.

6) V. Schol. ad Il. Ξ. 346, perperam Porphyrio tributum.

7) Om. ἔτι τοίνυν ap. Schol.

8) Ita Schol. — Schow. καταγέλωτα.

a) V. Il. N. v. 18.

Ἴδῃ, καὶ τὴν ὄρειον ὥσπερ ἀλόγοις ζώοις ὑπεστρωμένην εὐνήν. ἐν ᾗ δυσὶ τοῖς ἀφρονεστάτοις πάθεσι δεδούλωται Ζεὺς, ἔρωτι καὶ ὕπνῳ. νομίζω τοίνυν ἔγωγε, αὐτὰ ταῦτα δι' ἀλληγορίας ἐαρινὴν ὥραν ἔτους εἶναι, καθ' ἣν ἅπαντα φυτὰ καὶ πᾶσα ἐκ γῆς ἀνίεται χλόη [1]), τοῦ παγετώδους ἠσυχῇ λυομένου [2]) κρύους. ὑφίσταται δὲ τὴν Ἥραν, τουτέστι τὸν ἀέρα στυγνὸν ἀπὸ τοῦ χειμῶνος ἔτι καὶ κατηφῆ, καὶ [3]) διὰ τοῦτο, οἶμαι, πιθανῶς αὐτῆς στυγερὸς [4]) ἔπλετο θυμός [a])· μετὰ μικρὸν δ', ἀποκρουσαμένη τὸ συννεφὲς τῆς ἀηδίας

Λύματα πάντα κάθηρεν [5]), ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
Ἀμβροσίῳ, ἑδανῷ [6]), τό ῥά οἱ τεθυωμένον ἦεν [7])· [b])

ἡ λιπαρὰ καὶ γόνιμος ὥρα [8]) μετὰ τῆς τῶν ἀνθέων εὐωδίας ὑποσημαίνεται τούτῳ τῷ [9]) χρίσματι τῆς Ἥρας [ἀλειψαμένης] [10]). τούς τε πλοκαμοὺς φησιν αὐτὴν [11]) ἀναπλέξασθαι

---

1) Schol. χλόη ἐκ γῆς ἀνίεται.

2) Ita Schol. — Schow. δυομένου.

3) Addidi καί post κατηφῆ, quod ut necessario videtur requiri, ita facile in similium vocabulorum crebra repetitione a librario potuit omitti. Schol. omisso articulo, χειμῶνος.

4) Schol. φησὶ στυγηρὸς δ' αὐτῇ.

5) Schow. κάθηρεν.

6) Schow. ἑανῷ. — A. ἑδανῷ.

7) Om. ap. Schol· τό ῥά οἱ τεθ. ἦεν.

8) Schol. ὥρα διὰ τοῦτο μετά.

9) Schow. τοιούτῳ.

10) ἀλειψαμένης vocabulum loci structuram pessumdat atque impedit. Itaque est delendum.

11) Schol. αὐτήν φησιν.

a) V. Il. Ξ. 158. b) V. Il. Ξ. v. 171

καλοὺς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο [a]),

τὴν τῶν φυτῶν αἰνιττόμενος αὔξησιν [1]), ἐπειδὴ δένδρου ἅπαν κομᾷ, καὶ θριξὶν ὁμοίως ἀπὸ τῶν κλάδων ἀπαρτᾶται [2]) τὰ φύλλα. δίδωσι δ' ἐγκόλπιον τῷ ἔαρι [3]) καὶ τὸν κεστὸν ἱμάντα,

ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς [b]),

ἐπειδήπερ αὕτη μάλιστα τοῦ ἔτους ἡ ὥρα τὸ τερπνότατον ἐπεκληρώσατο [4]) τῶν ἡδονῶν μέρος. οὔτε γὰρ λίαν ὑπὸ τοῦ κρύους [5]) πεπήγαμεν, οὔτ' [6]) ἄγαν θαλπόμεθα. μεταίχμιον δέ τι τῆς ἑκατέρωθεν εὐκρασίας ἐν τοῖς σώμασιν ἀνεῖται. τοῦτον τοίνυν τὸν ἀέρα συνέμιξεν Ὅμηρος μετὰ μικρὸν τῷ αἰθέρι. διὰ τοῦτο ἐπὶ τῆς ὑψηλοτάτης ἀκρωρείας καταλαμβάνεται Ζεύς, ἐν ᾗ

δι' ἠέρος αἰθέρ' ἵκανεν [c]).

ἔνθα δὲ κίρναται [7]), καθ' ἓν ἀναμιχθεὶς, ὁ ἀὴρ τῷ αἰθέρι. ἐμφαντικῶς οὖν τοῖς [8]) ὀνόμασιν εἶπεν·

---

1) Schol. αὔξην.

2) Schol. ἀναρτᾶται.

3) Schol. ἀέρι. Inepta atque falsa hoc loco est Gesneri versio Latina: »Tribuit etiam Veneri cestum cingulum, quo sinum succingunt mulieres."

4) Ita Schol. — Codd. et Edd. ἐπλήρωσε.

5) Schol. ὑπὸ τοῦ κρύους λίαν.

6) Schow. οὔτε ἄγαν.

7) Codd. et Edd. ἐνθάδε κιρνᾶται.

8) Schol. ἐμφαντικῶς τοῖς.

a) Il. Ξ. v. 177.

b) Il. Ξ. v. 216.

c) Il. Ξ. v. 288.

Ἥρα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν [1].

ἐναγκαλίζεται [2]) γὰρ ἐν κύκλῳ περιέχων ὁ αἰθὴρ ὑφηπλωμένον αὐτῷ τὸν ἀέρα, τῆς δὲ συνόδου καὶ κράσεως αὐτῶν τὸ πέρας ἐδήλωσε τὴν ἐαρινὴν ὥραν 3)·

Τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην
Λωτόν θ' ἑρσήεντα, ἰδὲ κρόκον, ἠδ' ὑάκινθον,
Πυκνὸν καὶ μαλακὸν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν [a]).

ἴδια στέφη ταῦτα τῆς ἀρτιθαλοῦς 4) ὥρας, ἐπειδὰν ἐκ τῶν χειμερίων 5) παγετῶν ἡ (γῆ) στερίφη καὶ μεμυκυῖα πηγὰς ὡς κυοφορουμένας ἔνδον ὠδῖνας ἐκφήνῃ 6). προσεπισφραγιζόμενος δὲ τοῦτο, τὸν λωτὸν εἶπεν ἑρσήεντα, τὸν δροσερὸν, τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν τὸν καιρὸν 7).

---

1) Il. Ξ. v. 346. Ita cum vulgata lectione congruentem versum exhibet Schol. — Schow. ἦραν τ' ἀγκάς. — Cod. A. Ἥρα κατ' ἀγκὰς ἔμαρπε.

2) Schol. ἀγκαλίζεται.

3) Schol. τὴν ἐαρινὴν εἰπών.

4) Ita Cod. A. cum Galii MS. Angl. — Edd. ἀμφιθαλοῦς. — Schol. ἀρτιθαλλοῦς.

5) Schol. προχειρῖ.

6) Quomodo mutilo ac lacero loco aliqua saltem ex parte possit subveniri, in ipso textu indicavi; γῆ enim, quod inserui, non est in Codicibus. Schowius ἡ putavit in γῆ esse mutandum. Sed vel sic tamen altera sententiae pars manet subobscura; ὡς desideratur apud Schol. et in Cod. A.

7) Ita legendum esse Scholiorum Codicumque conspirans demonstrat lectio. Edd. τὸ δροσερὸν τῆς ἐαρινῆς καταστάσεως ποιῶν

a) Il. Ξ. v. 347.

ἐπὶ δὲ 1) νεφέλην ἕσσαντο
καλὴν, χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι a).

τίς ἀγνοεῖ τοῦθ' 2), ὅτι χειμῶνος μὲν ἐπάλληλα πυκνώματα τῶν νεφῶν ἐκμελαίνεται, καὶ μετὰ θολερᾶς ἀχλύος κατηφὴς ἅπας ὁ οὐρανὸς ἀμαυροῦται· τοῦ δ' ἀέρος ὑποσχίζοντος 3), ἀργὰ τὰ νέφη μαλακῶς ὑποσπείρεται, ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐναγκαλιζόμενα, καὶ παραπλήσιόν τι χρυσαῖς μαρμαρυγαῖς ἀποστίλβει· τοῦτο δὴ τὸ περὶ τὴν Ἴδην κορυφαῖον ἡμῖν νέφος ὃ τῆς ἐαρινῆς ὥρας δημιουργὸς Ὅμηρος ἐδήλωσεν 4).

---

τὸν καιρόν. In Cod. A, scribentis errore, pro τὸν καιρὸν exstat τοῦ καιροῦ. Verum et Heynius vidit, et Schowius. At hic τὸν δροσερὸν vocabula arbitrabatur esse eiicienda.

1) Cod. A. ἐπεὶ δέ.

2) Schol. τοῦτο.

3) Fortasse corrupta vocabula hunc in modum sunt emendanda: τοῦ δὲ ἔαρος τὴν ἀχλὺν ὑποσχίζοντος. Ἔαρος est apud Scholiastem.

4) Schol. νέφος τῆς ἐαρινῆς ὥρας δημιουργὸν ὅμηρος ἐδήλωσεν. Cod. A. νέφος, ὃ . . . δημιουργὸς . . . . . ἐφήλωσεν. Quod in textum recepi Heynio debetur. At fortasse legendum est: νέφος τὸ τῆς ἐαρινῆς ὥρας δημιουργὸν ὅμηρος ἐφήπλωσεν. — Cf. omnino Hom. poët. v. p. 325 (Gal.): ἐν οἷς δέ φησιν ὁ ποιητὴς συνοικεῖν τῷ Διὶ τὴν Ἥραν, δοκεῖ ταῦτα ἀλληγορεῖσθαι, ὅτι ἦρα μὲν νοεῖται ὁ ἀὴρ, ἥπερ ἐστὶν ὑγρὰ οὐσία, διὸ καὶ λέγει — ἔρα δ' Ἥρη Πῖνα πρόσθε βαθεῖαν (Il. Φ. 6). Ζεὺς δ' ὁ αἰθὴρ, τουτέστιν ἡ πυρώδης καὶ ἔνθερμος οὐσία· Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν (Il. O. 192). ἀδελφοὶ μὲν οὖν ἔδοξαν, διὰ τὴν συνάφειαν, καὶ τὴν κατά τι ὁμοιότητα, ὅτι ἄμφω κοῦφοι καὶ κινούμενοι.

a) Il. Ξ. v. 350.

## CAPUT XL.

¹) Ἀλλ' ἐφεξῆς ἡ τῶν ἐπιφυομένων αὐτῷ ²) τόλμα τοὺς Ἥρας δεσμοὺς αἰτιᾶται, καὶ νομίζουσιν ὕλην τινὰ δαψιλῆ τῆς ἀθέου πρὸς Ὅμηρον ἔχειν μανίας·

> ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν· ἐκ δὲ ποδοῖιν
> ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
> χρύσεον, ἄρρηκτον· σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
> ἐκρέμω ᵃ).

λέληθε δ' αὐτοὺς, ὅτι τούτοις τοῖς ἔπεσιν ἡ τοῦ παντὸς ἐκτεθεολόγηται γένεσις, καὶ τὰ συνεχῶς ᾀδόμενα τέτταρα στοιχεῖα· τούτων τῶν στίχων ἐστὶ τάξις ³), καθάπερ ἤδη μοι λέλεκται· πρῶτος αἰθὴρ, καὶ μετὰ τοῦτον ἀὴρ, εἶθ' ὕδωρ τε καὶ γῆ τελευταία, τὰ ⁴) πάντων ⁵) δημιουργὰ στοιχεῖα. ταῦτα δ' ἀλλήλοις ἐπικιρνάμενα ⁶) ζῳογονεῖται ⁷) καὶ τῶν ἀψύχων ἀρχέγονα ⁸) καθίσταται. Ζεὺς τοίνυν ὁ πρῶτος τὸν ἑαυτοῦ ἀέρα κατήρτηκε ⁹).

---

¹) Vid. Schol. Il. *O.* 18, in quo duo prima capitis vocabula desiderantur. ²) Schol. τῷ ὁμήρῳ.

³) Nil dubitarem in textum recipere pulcrum Heynii inventum, *τούτων τῶν στοιχείων* legendum esse coniicientis, si eo recepto omnibus numeris absoluta esset sententia. Sed restant complures etiam scrupuli. Quos facile cuique perspicuos non opus est ut pluribus demonstrem.

⁴) Inserui τά, Scholiastam secutus.

⁵) Cod. A. *γῆ· τελευταία πάντων.*

⁶) Cod. A et Schol. *ἐπικιρνώμενα.*

⁷) Schol. *ζωόγονά τε.* ⁸) Schol. *ἀρχίγονα.*

⁹) Fortasse legendum est: *ἑαυτοῦ τὸν ἀέρα κατήρτηκε.* Vid. Heyn. ad h. l.

*a*) Il. *O.* v. 18.

στερεοὶ δ' ἄκμονες ὑπὸ ταῖς ἐσχάταις ἀέρος βάσεσιν [1]), ὕδωρ τε καὶ γῆ, καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ἐφ' ἑκάστης λέξεως, εἴ τις ἀκριβῶς ἐθέλοι [2]) σκοπεῖν τἀληθὲς, εὑρήσει [3]). Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω [4]) ὑψόθεν. ἀπὸ γὰρ τῶν ἀνωτάτω καὶ μετεώρων τόπων φησίν [5]) αὐτὴν ἀπηρτῆσθαι. περὶ χερσὶ δὲ [6]) δεσμὸν ἴηλα χρύσεον, ἄρρηκτον. τί τοῦτο τὸ καινὸν [7]) αἴνιγμα τῆς κολακευούσης τιμωρίας; πῶς ὀργιζόμενος ὁ Ζεὺς [8]) πολυτελεῖ δεσμῷ τὴν κολαζομένην ἠμύνατο, χρυσοῦν ἀντὶ τοῦ κραταιοτέρου [9]) σιδήρου τὸν δεσμὸν ἐπινοήσας; ἀλλ' ἔοικε τὸ μεταίχμιον αἰθέρος τε καὶ ἀέρος χρυσῷ μάλιστα τὴν χρόαν ἐμφερὲς εἶναι· πάνυ δὴ [10]) πιθανῶς, καθ' ὃ μέρος ἀλλήλοις ἐπισυνάπτουσι, λήγων μὲν [11]) ὁ αἰθὴρ, ἀρχόμενος δὲ μετ' ἐκεῖνον ὁ ἀὴρ, χρυσοῦν ὑπεστήσατο [12]) δεσμόν. ἐπιφέρει γοῦν· Σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν ἐκρέμω, τὸν ἄχρι νεφῶν τόπον ὁρίσας μέτρον ἀέρος. ἐκ δὲ τῶν τελευταίων μερῶν τοῦ ἀέρος, ἃ καλεῖ τοὺς [13]) πόδας, ἀπήρτησε [14]) στιβαρὰ βρίθη, γῆν τε καὶ ὕδωρ·

---

[1]) Schol. ἐσχάταις αὐτοῦ τοῦ ἀέρος βάσεσιν.

[2]) Ita A. — Schow. ἐθέλει. — Schol. ἀληθῶς ἐθέλοι.

[3]) Editiones omnes miro errore: σκοπεῖν, τἀληθὲς εὑρήσει.

[4]) Ita A. et Schol. — Schow. ὅτ' ἐκρέμω.

[5]) Schol. φασίν. [6]) Schol. δὲ χερσί.

[7]) Ita A. et Schol. — Schow. τοῦτο καινὸν αἴνιγμα.

[8]) Articulum e Schol. addidi.

[9]) Comparativum A. et Schol. — Schow. κραταιοτάτου.

[10]) Schol. δέ.

[11]) A. et Schol. μὲν γὰρ ὁ αἴθηρ.

[12]) Schol. ὑπεστήσαν (τ supra scriptum). Sed ν adscriptum est manu secunda.

[13]) Codd. et Edd. καλεῖται πόδας. — Schowius correxit καλεῖ πόδας. [14]) Schol. ἀπήρτισε.

ἐκ δὲ ποδοῖιν ἄκμονας ἧκα δύω. πῶς ἂν οὖν [1]) εἴπε δεσμὸν ἄῤῥηκτον, αὐτίκα τῆς Ἥρας λυθείσης, εἴγε τῷ μύθῳ προσεκτέον; ἀλλ' ἐπειδήπερ ἡ τῶν ὅλων ἁρμονία δεσμοῖς ἀῤῥαγέσι συνωχύρωται, καὶ δυσχερὴς ἡ τοῦ παντὸς εἰς τἀναντία μεταβολή, τὸ μὴ δυνηθὲν ἂν διαζευχθῆναί ποτε, κυρίως ὠνόμασεν ἄῤῥηκτον [2]).

## CAPUT XLI.

Ταύτην δὲ τὴν τετράδα τῶν στοιχείων καὶ μετὰ μικρὸν ἐν τοῖς ὅρκοις διεσάφησεν [3]) Ἥρα·

ἴστω νῦν τόδε γαῖα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν [a])
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ [4]).

τρισὶ γὰρ ὅρκοις τὴν ὁμόφυλον αὐτῆς καὶ συγγενῆ φύσιν ὠνόμασεν [5]), ὕδωρ τε καὶ γῆν, καὶ [6]) τὸν ὕπερθεν οὐρανόν, τουτέστι τὸν αἰθέρα· τέταρτον γὰρ στοιχεῖον ἦν ἡ ὀμνύουσα. διευπορῶν [7]) γέ τοι καὶ ἐπὶ πολλοῖς [8]) ἀλλη-

---

[1]) Schow. πῶς οὖν εἶπε. — A. et Schol. πῶς ἂν εἶπε.

[2]) Cf. Hom. P. V. p. 326 (Gal.): τοῦ δ' αὐτοῦ λόγου ἔχεται κἀκεῖνα, ἐν οἷς φησὶν ὁ Ζεὺς κρέμασθαι τὴν Ἥραν, καὶ ἐξάπτεσθαι τῶν ποδῶν αὐτῆς ἄκμονας δύο, τουτέστι τὴν γῆν καὶ τὴν θάλασσαν· μάλιστα δ' ἐν ἐκείνοις (leg. ἐν οἷς) ἐξεργάζεται τὸν περὶ στοιχείων λόγον, δι' ὧν ὁ Ποσειδῶν λέγει αὐτῷ· Τρεῖς γάρ κτέ.

[3]) Fort. scribendum est. διεσαφήνισεν.

[4]) Schol. αὐτῇ.

[5]) Schol. ὠνόμασε. Fort. legendum est ὤμοσεν.

[6]) Ita A., Schol. et Heynius. — Schow. γῆν τὸν ὕπερθεν.

[7]) Schol. διαπορῶν.

[8]) Ita Schol. — Schow. et Codd. καλοῖς.

[a]) Vid. Il. O. v. 26.

γορικῶς παριστάναι βουλόμενος ταυτὶ τὰ [1]) στοιχεῖα, καὶ μετ' ὀλίγον ἐν τοῖς Ποσειδῶνος πρὸς Ἶριν λόγοις αὐτὰ ταῦθ' [2]) ὑφίσταται λέγων [3])·

Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεί [4])
Παλλομένων, Ἀίδης δ' ἔλαχε [5]) ζόφον ἠερόεντα.
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.
Γαῖα δ' ἔτι [6]) ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος [a]).

οὐ μὰ Δί' οὐ κλῆρος ὁ μυθευόμενος ἐν Σικυῶνι ταῦτα, καὶ διαίρεσις ἀδελφῶν οὕτως ἀνώμαλος, ὥστ' [7]) οὐρανὸν ἀντιθεῖναι [8]) θαλάττῃ καὶ ταρτάρῳ. πᾶς γὰρ ὁ μῦθος ἠλληγόρηται περὶ τῶν ἀπ' ἀρχῆς [9]) τεττάρων στοιχείων [10]). Κρόνον μὲν γὰρ ὀνομάζει τὸν χρόνον κατὰ μετάληψιν

---

[1]) Articulum inserui, Schol. et Cod. A. auctoritatem secutus. — Schow. ταυτὶ στοιχεῖα.

[2]) Schol. τάδ'.

[3]) Ita A. et Schol. — Schow. λέγειν.

[4]) Schol., inverso vocabulorum ordine, ναιέμεν αἰεὶ πολιὴν ἅλα.

[5]) Schol. ἔλαχεν.

[6]) Schol. δέ τοι.

[7]) Ita Schow. — A. et Schol. ὡς.

[8]) Incipit in medio vocabulo ἀντιθεῖναι fragmentum Heracliti, quod exstat in eximio Codice Vaticano 305 (D.). De quo vide, quae in praefatione sunt exposita.

[9]) Schow. et A. ἐπ' ἀρχαῖς. — D. ἐν ἀρχαῖς. — Schol. περὶ τῶν τεττάρων στοιχείων.

[10]) Nisi statuas, interiisse sententiam, qualis haec: τὸν μὲν οὖν Κρόνον πατέρα αὐτῶν ὑφίσταται, mutato sententiarum ordine videtur legendum esse: πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος. Κρόνον μὲν γὰρ ὀνομάζει τὸν χρόνον κατὰ μετάληψιν ἑνὸς στοιχείου, καὶ τελ. Apud Schol. desunt vocabulo Κρόνον — στοιχείου.

[a]) Vid Il. O. v. 190 seqq.

ἑνὸς στοιχείου. πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος [1]), καὶ τελέως ἀμήχανόν τι γενέσθαι [2]) τῶν ὄντων δίχα χρόνου· διὸ δὴ ῥίζα τῶν τεττάρων [3]) στοιχείων οὗτός ἐστι. μητέρα δ' αὐτοῖς ἔνειμε Ῥέαν, ἐπεὶ ῥύσει [4]) τινὶ καὶ ἀεννάῳ κινήσει τὸ πᾶν οἰκονομεῖται. χρόνου δὴ [5]) καὶ ῥύσεως τέκνα, γῆν τε καὶ ὕδωρ, αἰθέρα τε καὶ ἀέρα σὺν αὐτῷ ὑπεστήσατο· καὶ τῇ μὲν πυρώδει φύσει τόπον ἔνειμεν οὐρανόν· τὴν δ' ὑγρὰν οὐσίαν Ποσειδῶνι προσέθηκε· τρίτον δ' Ἀίδην, τὸν ἀφώτιστον ἀέρα δηλοῖ. κοινὸν δὲ πάντων [6]) καὶ ἑδραιότατον ἀπεφήνατο στοιχεῖον [7]) εἶναι τὴν γῆν, ὥσπερ ἑστίαν τινὰ τὴν τῶν ὅλων δημιουργὸν [8])·

Γαῖα δ' ἔτι [9]) ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.

Διὰ [10]) τοῦτο δέ μοι δοκεῖ συνεχῶς ἀλληγορεῖν ὑπὲρ αὐτῶν, ἵν' ᾖ [11]) δοκοῦσα τοῖς ἔπεσιν ὑφεδρεύειν [12]) ἀσά-

---

[1]) Cf. Th. Gal. ad Cornut. d. N. D. p. 178.

[2]) Schol. τελείως et γενέσθαι τι. Fort. legendum est ἕν τι γενέσθαι κτέ.

[3]) Desiderantur apud Schol. δή et τεττάρων.

[4]) Ita D. — Schow. μητέρα δ'αὐτῆς ἔνειμεν εἶναι Ῥέαν· ἐπειδὴ ῥύσει. — Idem A. et Schol., nisi quod in δ' αὐτοῖς cum D. conspirant.

[5]) Ita D. — A., Schol. et Schow. δέ. — Vid. Bredow. l. l. p. 244.

[6]) Schol. δ' ἁπάντων.

[7]) Schol. στοιχεῖον ἀπεφήνατο.

[8]) Schow. τῆς τῶν ὅλων δημιουργόν. Idem A. — Schol. τῆς τῶν ὅλων δημιουργίας. — D. τὴν τῶν ὅλων δημιουργίαν.

[9]) Schol. δέ τι. — D. δ' ἐστὶ κοινή.

[10]) A. καὶ διὰ τοῦτο.

[11]) Schol. ἵνα. — Bredow. l. l. p. 253 perperam ἵνα μή Scholiastae tribuit.

[12]) Ita D. — Reliqui omnes, solemni vitio, ἐφεδρεύειν.

φεια [1]) τῷ διηνεκεῖ τῆς παραδόσεως ἢ γνωριμωτέρα.

## CAPUT XLII.

Τάγε μὴν ἐπὶ Σαρπηδόνος [2]) δάκρυα λύπην μὲν οὐ καταψεύδεται θεοῦ, ὃ καὶ παρ' ἀνθρώποις νόσημα. τῷ δὲ βουλομένῳ τἀκριβὲς ἐρευνᾶν, ἐπινοεῖται τρόπος ἀλληγορουμένης [3]) ἀληθείας [4])· πολλάκις γὰρ ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγμάτων ἱστοροῦσι τεράστια τῷ βίῳ συμφέρεσθαι [5]) σημεῖα [6]), ποταμῶν τε καὶ πηγαίων [7]) ναμάτων αἱμοφορύκτοις [8]) ῥεύμασιν ἐκμιαινομένων [9]),

---

[1]) Schol. ἀσάφεια σαφὴς — — — ἢ, omisso γνωριμωτέρα.

[2]) Ita D. Reliqui omnes Σαρπηδόνι.

[3]) D. καταψεύδεται θεοῦ, ἀλλ' ἀνθρώπινον νόσημα· τῷ δὲ βουλομένῳ τἀκριβὲς ἐρευνᾶν ἐπι . . . . ται τρόπος ἀλληγορουμένος ἀληθείας. — Schow. et Schol. ὃ καὶ παρ' ἀνθρώποις νόσημα — αὐτῷ δὲ βουλομένῳ — ἐπινοεῖται — ἀλληγορουμένης ἀληθείας. Idem A; sed est lacuna inter αὐτῷ et βουλομένῳ.

[4]) Explicit Schol. Il. O. 18 in vocabulo ἀληθείας; incipit in vocabulo πολλάκις Schol. Il. Π. v. 459. Desiderantur in ipso initio vocabula γάρ et ταῖς.

[5]) Vocabula τῷ βίῳ non suo loco videntur esse collocata. Fortasse redintegrata habebis scriptoris verba, si legas: πολλάκις γὰρ ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων ἐν τῷ βίῳ πραγμάτων.

[6]) Schol. συμφέρεσθαι καὶ σημεῖα.

[7]) Ita Schol. — Schow. et Codd. πηγῶν.

[8]) Ita A. — Schol αἱμοροφύτοις. — Schow. αἱμοφρύκτοις. — D. αἱμοφύρτοις. — Primum, quod in textum recepi, commendant Hemsterhusius et Bredow. l. l. Cf. Hom. Od. Υ. 248 et Hesych. i. v. αἱμοφόρυκτα, αἵματι μεμολυσμένα καὶ ἀναπεφυρμένα. Αἱμοφύρτοις, quod est in D., tuentur Wyttenbachius et Ruhnkenius, quorum hic insuper ναμάτων arbitrabatur esse delendum.

[9]) Schol. ἐκμαινομένων.

ὡς ἐπ' Ἀσωποῦ τε καὶ Δίρκης παραδιδόασιν οἱ παλαιοὶ [1]) μῦθοι. λόγος δ' ἔχει καὶ κατὰ νεφῶν ψεκάδας ὕεσθαι, φονίοις τισὶ κηλῖσιν [2]) ἐπικεχρωσμένας. ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλε τοῖς βαρβάροις, ἐγγὺς δ' ἦν ὁ τοῦ [3]) κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡσπερεὶ τεράστια προὐφάνη [4]) ταύτης τῆς συμφορᾶς ἀγγελτικά [5])·

Αἱματοέσσας δὲ ψιάδας [6]) κατέχευεν ἔραζε.

τοῦτον δὴ τὸν φόνιον ὄμβρον [7]) ἀλληγορικῶς εἶπεν [8]) αἰθέρος δάκρυα [9]), Διὸς μὲν οὔ, ἄκλαυστος γάρ, ἐκ δὲ τῶν ὑπεράνω τόπων ὡσπερεὶ θρήνοις μεμιγμένου καταρραγέντος ὑετοῦ [10]).

---

[1]) Schol. πάλαι.

[2]) Codd. et Editiones φόνου τισὶ κηλῖσιν.

[3]) D. ἐγγὺς δ' ὁ τοῦ.

[4]) D. προὔφαινε. — Schol. προφανῆ.

[5]) Schol. ἀγγελτικὰ φησίν.

[6]) Ita A. D. et Schol. — Schow. ψεκάδας. Cf. Il. Π. 459 et Bredow. l. l. p. 245.

[7]) Ita Heynius. — Codd. et Editt. φονέα.

[8]) Εἶπεν D. et Schol. — Schow. εἴρηκεν.

[9]) Interpunctionem, quam vocant, et hic et paullo infra mutavi; quod verbo indicasse sufficiat.

[10]) Explicit Schol. Il. Π. v. 459: — Cf. Lucian. Ver. Hist. I. 17 (Dind. p. 278): τῆς δὲ τροπῆς λαμπρᾶς γεγενημένης πολλοὶ μὲν ζῶντες ἡλίσκοντο, πολλοὶ δὲ καὶ ἀνῃροῦντο, καὶ τὸ αἷμα ἔρρει πολὺ μὲν ἐπὶ τῶν νεφῶν, ὥστε αὐτὰ βάπτεσθαι καὶ ἐρυθρὰ φαίνεσθαι, οἷα παρ' ἡμῖν δυομένου τοῦ ἡλίου φαίνεται, πολὺ δὲ καὶ εἰς τὴν γῆν κατέσταζεν, ὥστε μ' εἰκάζειν, μὴ ἄρα τοιούτου τινὸς καὶ πάλαι ἄνω γενομένου (leg. ἐν οὐ-

## CAPUT XLIII.

*Ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγορημένων* [1]. *ἐπὶ* [2] *μέντοι τῆς ὁπλοποιίας μεγάλῃ τινὶ* [3] *καὶ κοσμοτόκῳ διανοίᾳ τὴν τῶν ὅλων περιήθροισε γένεσιν.* [4] *ὅθεν γὰρ αἱ πρῶται τοῦ παντὸς ἔφυσαν ἀρχαὶ, καὶ τίς ὁ τούτων δημιουργὸς, καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη,* [5] *σαφέσι τεκμηρίοις παρέστησε, τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς* [6] *περιόδου χαλκευσάμενος εἰκόνα. καὶ τὸ πρῶτον* [7] *ὑπεστήσατο τῆς παντελοῦς δημιουργίας νύκτα καιρόν. ἐπειδήπερ αὕτη χρόνου πτερὰ πάτρια πρεσβεῖα κεκλήρωται* [8]*, καὶ πρὶν ἢ δια-*

---

*ρανῷ γενομένου), Ὅμηρος ὑπέλαβεν αἵματι ὖσαι τὸν Δία ἐπὶ τῷ τοῦ Σαρπηδόνος θανάτῳ.*

[1]) D. *ἀλληγορουμένων.*

[2]) Incipit in vocabulo *ἐπί* Schol. Il. *Σ.* 473.

[3]) Addidi *τινί* e Schol.

[4]) Schol. *γέννησιν.*

[5]) Schol. *διεκρίθη; ὅτι σαφέσι.*

[6]) D. *τοῦ κοσμικοῦ.*

[7]) Ita A. et Schol. cum Schowii MS. Angl. — D. *τόν.*

[8]) Ita Schow. et A. — D. *ἐπείπερ αὐτὴ πατρὶ τῷ χρόνῳ πρεσβεῖα κέκτηται.* — Schol. ut Schow., sed omisso *πτερά* vocabulo. Potest locus corruptus variis coniecturis tentari. At mihi videtur scriptor, eorum recordatus, quae modo de Chrono, elementorum omniumque rerum tamquam patre praeceperat, quum iam in eo sit, ut noctem omnium rerum contendat esse matrem et opificem, ita utramque sententiam coniungere, ut noctem dicat primo natam Temporis fuisse filiam, quae omnes patrios honores tamquam hereditario iure acceperit. Quod Graece sic probabiliter dici potuit: *ἐπειδήπερ αὕτη Χρόνου γέρα πάτρια πρεσβεῖα κεκλήρωται.* Cf.

κριθῆναι τὰ νῦν βλεπόμενα, νὺξ ἦν τὸ σύμπαν [1]), ὃ δὴ χάος ποιητῶν [2]) ὀνομάζουσι παῖδες. οὐ γὰρ οὕτως ἄθλιόν τινα καὶ κακοδαίμονα παρεισάγει τὸν Ἥφαιστον, ὡς μηδὲ νυκτὸς ἀνάπαυσιν ἔχειν τῆς χειρωνακτικῆς ἐργασίας, ὅπου γε καὶ παρ' ἀνθρώποις ἄθλιον 3) εἶναι δοκεῖ τὸ μηδὲ νυκτὸς 4) τῶν πόνων ἐκεχειρίαν ἄγειν. ἀλλ' οὐκ ἐστὶ ταῦτα χαλκεύων Ἀχιλλεῖ πανοπλίαν Ἥφαιστος, οὐδ' ἐν οὐρανῷ βουνοὶ χαλκοῦ καὶ κασσιτέρου, ἀργύρου τε καὶ χρυσοῦ εἰσίν. ἀμήχανον γὰρ τὰς ἀηδεῖς καὶ φιλαργύρους γῆς νόσους ἐπ' οὐρανὸν ἀναβῆναι. φυσικῶς δὲ τῆς ἀμόρφου ποτὲ 5) καὶ μὴ διακεκριμένης ὕλης τὸν καιρὸν ἀποφηνάμενος εἶναι νύκτα 6), δημιουργὸν, ἡνίκα ἔμελλε πάντα μορφοῦσθαι 8)), τὸν Ἥφαιστον ἐπέ-

---

Damasc. π. ἀρχ. p. 380. (ed. Kopp.): ἐν μὲν τοίνυν ταῖς φερομέναις ταύταις ῥαψῳδίαις Ὀρφικαῖς εἰ θεολογία δή τίς ἐστιν ἡ περὶ τὸ νοητὸν, ἣν καὶ οἱ φιλόσοφοι διερμηνεύουσιν, ἀντὶ μὲν τῆς μιᾶς τῶν ὅλων ἀρχῆς τὸν χρόνον τιθέντες, ἀντὶ δὲ τοῖν δυοῖν αἰθέρα καὶ χάος κτέ. — Procl. Theol. IV. 251: οἱ θεουργοὶ συνάδουσι, θεὸν ἐγκόσμιον τὸν χρόνον ὑμνοῦντες αἰώνιον, νέον τε καὶ πρεσβύτην. Cf. Creuzer, Symbol. III. p. 292.

1) D. τὸ πᾶν.

2) D. χάο ποιητῶν.

3) Codd. παρ' ἀνθρώποις ἀθλίοις ἄτοπον, quod quid possit significare, vix intelligo.

4) D. μηδὲ νυκτὸς ἐκεχειρίαν ἄγειν τῶν πόνων. — A. et Schow. μηδὲ νύκτα τῶν πόνων ἐκεχειρίαν ἄγειν. — Schol. μηδὲ τὴν νύκτα et ἐκκεχειρίαν. Cf. Bredow. l. l. p. 245.

5) Ita A., D. et Schol. — Schow. ἀμόρφου τε. Cf. Bredow. l. l.

6) Vocabula εἶναι νύκτα interpolatorem videntur redolere.

7) A. et D. δημιουργεῖσθαι. — Schol. τὰ πάντα μορφοῦσθαι.

στησε, τουτέστι [1]) τὴν θερμὴν οὐσίαν· πυρὸς γὰρ δὴ, κατὰ τὸν φυσικὸν Ἡράκλειτον [2]), ἀμοιβῇ τὰ πάντα γίνεται. ὅθεν συνοικοῦσαν οὐκ ἀπιθάνως τῷ τῶν ὅλων ἀρχιτέκτονι πεποίηκε τὴν Χάριν. ἔμελλε γὰρ ἤδη τῷ κόσμῳ χαριεῖσθαι τὸν ἴδιον κόσμον. ὗλαι δὲ τίνες αὐτῷ [3]) τῆς κατασκευῆς;

χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε [a]).

εἰ μὲν Ἀχιλλεῖ κατεσκεύαζε [4]) πανοπλίαν, πάντ' ἔδει χρυσὸν εἶναι· καὶ γὰρ οἶμαι σχέτλιον, Ἀχιλλέα [5]) μηδὲ Γλαύκῳ κατὰ τὴν πολυτέλειαν ἴσον εἶναι [6]). νῦν δὲ τὰ τέτταρα [7]) στοιχεῖα κίρναται [8]). καὶ χρυσὸν μὲν ὠνόμασε τὴν αἰθεριώδη [9]) φύσιν, ἄργυρον δὲ τὸν αὐτῇ τῇ χροιᾷ [10]) συνομοιούμενον [11]) ἀέρα· χαλκὸς δὲ καὶ κασσίτερος, ὕδωρ τε καὶ γῆ προσαγορεύεται διὰ τὴν ἐν ἀμφοτέροις βαρύτητα. πρώτη [12]) δ' ἀπὸ τούτων τῶν στοιχείων ἀσπὶς ὑπ' αὐτοῦ χαλκεύεται, σφαιροειδὲς ἔχουσα τὸ

[1]) D. ἐπέστησεν ἤτοι.
[2]) Cf. Schow. in annotatt. ad Heracl. p. 280.
[3]) Ita D. — Schow. αὐτοῦ. Cf. Bredow. l. l.
[4]) Imperfectum praebet D. — Schow. κατεσκεύασε.
[5]) Schol. σχέτλιον Ἀχιλλέα, εἰ μηδέ.
[6]) D. τὴν πολυτέλειαν εἶναι.
[7]) Schol. νῦν δὲ τέτταρα.
[8]) A. et D. κιρνᾶται.
[9]) Ita D. — Schow. αἰθερώδη.
[10]) Ita D. — Schow. χρόα.
[11]) Schol. προσωμοιωμένον.
[12]) Schol. πρῶτον.
a) Vid. Il. Σ. v. 474.

σχῆμα [1]), ὑφ' [2]) οὗ τὸν κόσμον ἡμῖν ἐμφανῶς ἐσήμηνεν. ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιίας μόνον, ἀλλὰ καὶ δι' ἀλ-

[1]) Schol. ἔχουσα σχῆμα.

[2]) Ita D. — Schow. δι' οὗ. Dici vix potest, quam saepe praepositiones omnino in codd. labem contraxerint, quam saepe imprimis praepositio διά cum similibus, praecipue cum ἐξ fuerit commutata. De quo corruptelarum genere operae pretium est conferre Walzii Ep. Crit. ad Boisson. p. 56. sqq. — Cuius rei, ut a frigida variarum lectionum ieiunaque enumeratione animum remittamus aliquantisper atque recreemus, pauca quaedam hoc loco lubet apponere exempla. Atque satis memorabile huius generis vitium ante hos paucos dies demonstravit Cobetius in emendatissimo ceteroquin Isocratis textu, Areopag. 7. 42 Bekk. ταῦτα διανοηθέντες οὐ τοῦτο πρῶτον ἐσκόπουν δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον ζημίας ἐξαμαρτάνειν. Quo loco quis dubitet, pro δι' ὧν restituere ἐξ ὧν, quis non miretur, quod tamdiu vitiosa lectio editiones inquinaverit? Neque in eo acquieverunt librarii, ut praepositiones nude positas turpiter commutarent, quin immo composita cum praepositionibus substantiva et verba eadem labes invasit; cuius rei ludicrum exemplum e Platone proponam, de Legg. V. p. 738. E: δεῖ δὴ πάντα ἄνδρα, ἓν πρὸς ἕν, τοῦτο σπεύδειν ἐν πάσαις πόλεσιν, ὅπως μήτ' αὐτός κίβδηλός ποτε φανεῖται ὁτῳοῦν, ἁπλοῦς δὲ καὶ ἀληθὴς ἀεὶ, μήτ' ἄλλος τοιοῦτος ὢν αὐτὸν διαπατήσει. Sedulo restituendum ἐξαπατήσει idemque vitium compluribus praeter hunc Graecorum scriptorum locis est eximendum. Isocratis huius generis vitio laboranti loco medicam nuperrime manum adhibuit A. F. van de Laar in thesibus dissertationi de Plutarchi Dione adiectis. Etenim edidit Bekkerus in Isocratis Panegyr. 4, 174. pag. 85: ὧν ἕνεκα περὶ παντὸς ποιητέον, ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν. At scripsit Isocrates ἐξοριοῦμεν.

λων 1) τεκμηρίων ὑφίσταται 2) κυκλοειδῆ.

## CAPUT XLIV.

Συντόμως δ' ἐν παρεκβάσει τὰς ὑπὲρ τούτων φιλοτεχνοῦντες 3) ἀποδείξεις δηλώσομεν. συνεχῶς τοίνυν 4) τὸν ἥλιον ἀκάμαντα, καὶ ἠλέκτορα 5), καὶ ὑπερίονα προσαγορεύει, διὰ τῶν ἐπιθέτων οὐκ ἄλλο τι πλὴν τοῦτο τὸ σχῆμα 6) σημαίνων. ὅ τε 7) γὰρ ἀκάμας, ὁ μὴ κάμνων, ἔοικεν 8) ὅρους ἔχειν οὐκ ἀνατολὴν καὶ 9) δύσιν, ἀλλὰ τὴν ἀεὶ 10) περίδρομον ἀνάγκην. ἠλέκτωρ δὲ δυοῖν θάτε-

1) Ita Schow. et Schol. — Cod. D. ἀπὸ τῶν ἄλλων. Villoisonus in Scholiis διὰ δήλων edidit. Qui error inde ortus est. Scholia a prima manu numeris distinguuntur, α, β, γ etc., ut hic:

| | |
|---|---|
| Δ∴ | τὰ περὶ τῶν ὅπλων, περὶ ὧν καὶ διαλέγεται αὐτῷ. |

Quum secunda manus alia Scholia in margine adscriberet, illae numerorum notae in mediis his circumscribuntur in hunc modum:

| | |
|---|---|
| ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιίας μόνον, ἀλλὰ καὶ δι' ἄλ Δ∴ λων τεκμηρίων ἐπίσταται. | τὰ περὶ τῶν ὅπλων, περὶ ὧν καὶ διαλέγεται αὐτῷ. |

Qua in re Villoisonum saepissime esse lapsum nova scholiorum a Cobetio confecta collatio demonstrat.

2) Ita Heynius. — Codd. et Schow. ἐπίσταται.

3) Cod. D. φιλοτεχνοῦσιν.

4) Cod. D. οὐ τοίνυν.   5) Schol. ἀλέκτορι.

6) Schol. τὸ σχῆμα τοῦτο.

7) Ita A. et D. — Schow. et Schol. ὅτι.

8) Schol. ἔοικεν καί.   9) Schol. ἤ.

10) Cod. D. ἀλλ' ἀεί.

ρον· ἢ γὰρ ἄλεκτρος [2]) ὁ θεὸς ὀνομάζεται, ὡς [3]) μηδέποτε κοίτης ἐπιψαύων· ἢ τάχα πιθανώτερον ἔτι ἑλίκτωρ [4]) τις ὤν, καὶ κυκλοτερεῖ φορᾷ δι' ἡμέρας καὶ νυκτὸς ἀναμετρούμενος τὸν κόσμον [5]). ὑπερίονα δὲ νομιστέον αὐτὸν, τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς, ὥσπερ, οἶμαι, καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν·

Ἠέλιός θ' ὑπεριέμενος, γαῖάν τ' ἐπιθάλπων [6]).

εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν Ὑπεριονίδην· [ὡς Ἀτρείδην, εἰ τύχοι, τὸν Ἀγαμέμνονος, καὶ Πηλείδην τὸν Ἀχιλλέα] [7]).

## CAPUT XLV.

[8]) Ἥτε [9]) θοὴ νὺξ οὐκ ἄλλο τι σημαίνει, πλὴν τὸ

---

[2]) Ita D. — Schol. ἢ ἀλέκτωρ. — Schow. ἢ ἤλεκτρος.

[3]) ὡς addidi e Cod. D.

[4]) Cod. A., Cod. D. et Schol. ἐπιελίκτωρ. — Schol. ἐπιελέκτωρ. — Verum hoc loco plures simul viderunt. Eandem enim et bonam lectionem ἔτι ἑλίκτωρ commendant v. Lennep. ad Coluth. v. 233, Schow. in annotatt. ad h. l., Hemsterhusius et Valckenaerius in annotationibus marginalibus. Ioh. M. Gesner. in Commentatt. Soc. Gotting. III. p. 70. ἐπιλέκτωρ coniecit. Codicum lectionem recepit Hasius apud Bredow. p. 246.

[5]) Schol. τὸν κόσμον ἀναμετρούμενοι.

[6]) Cff. de hoc Xenophanis versu Ch. Petersen in »Jahn und Seebode Jahrbücher für Philologie" 1831. 3. pag. 154, et N. Bach. in »Jahrbücher für wissenschaftliche Kritik" 1831. I. p. 480.

[7]) Vocabula uncis inclusa ut per se spectata glossatorem et magistellum redolent, ita in optimo Codice D. non exstant.

[8]) Quae iam sequuntur inde a Cap. 45 initio, in Scholiis ad Iliadem bis leguntur. Exstant enim praeter locum supra laudatum eadem annotata ad Il. Ω. 366, a manu tertia scripta. Cuius Scholii lectiones ita enotabo: Schol. II.

[9]) Schol. II. ἡ θοή.

σφαιροειδὲς ὅλου τοῦ πόλου 1) σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει, καὶ πᾶς καταλειφθεὶς ὑπ' ἐκείνου τόπος ὑπὸ ταύτης εὐθὺς ἐκμελαίνεται 2), σαφῶς γοῦν 3) ἑτέρωθί που τοῦτο μηνύων, φησί·

'Εν δ' ἔπεσ' 4) Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν a).

ὥσπερ γὰρ ἀπηρτημένην ἑαυτοῦ 5), τὴν νύκτα κατόπιν ἐφέλκεται, συγχρονοῦσαν 6) τοῖς ἡλίου τάχεσιν. εἰκότως οὖν αὐτὴν Ὅμηρος εἴρηκε θοήν. δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν θοὴν ὀνομάζειν μεταληπτικῶς, οὐ τὴν κατὰ κίνησιν ὀξεῖαν, ἀλλὰ τὴν κατὰ σχῆμα· καὶ γὰρ ἑτέρωθί που φησίν·

"Ενθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε 7) θοῇσιν. b)

οὐ τὸ τάχος τῶν ἐρριζωμένων νήσων ἠλιθίως 8) δηλῶσαι 9)

---

1) Ita A., D. Schol. et Schol. Il. — Schow. et Gal. κόσμου.

2) Schow. εὐθ. ὑ. τ. ἐκμ. — Schol. ὑ. τ. ἐ. ἐκμ. — Cod. D. ὑ. τ. ἐκμ. εὐθύς.

3) Cod. D. οὖν.

4) Schol. Il. δὲ πέσ'.

5) Schol. ἑαυτῷ.

6) Ita Schow. — Cod. D. et Schol. συγχωροῦσαν. — Schol. Il. σύγχρονον οὖσαν.

7) Cod. A. ἐπιπροέηκα cum Schol. Il. — D. ἔνθεν οὖν νήσοισιν ἐπιπροέηκα.

8) Schol. ἠλίθιον.

9) Schow. δηλώσειν. — Schol. Il. δηλώσας. — Cod. A. ἠλιθίως γὰρ δηλώσειν.

a) Il. Θ. v. 485 et 486.

b) Od. O, v. 299.

ἐσπουδακὼς, ἀλλὰ τὸ σχῆμα, πρὸς ὀξὺ [1]) ἀπολήγουσαν ἀποτελοῦν [2]) γραμμήν. εἰκότως οὖν θοὴν νύκτα λέγεσθαι [3]) τὴν ἐπ' ὀξὺ τέλος τῆς ἐσχάτης σκιᾶς ἀποτερματίζουσαν [4]).

## CAPUT XLVI.

Φυσικῶς δὲ διὰ τούτου τοῦ λόγου ἀποδείκνυσιν [5]), ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. τριχῇ γὰρ [6]) οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν φασὶν ἀποπίπτειν [7])· ἐπειδὰν ἔλαττον [8]) ᾖ [9]) τὸ καταλάμπον φῶς [10]) τοῦ καταλαμπομένου τόπου [11]), τὴν σκιὰν συμβέβηκε καλαθοειδῶς ἐπὶ τὴν ὑστάτην πλατύνεσθαι βάσιν, ἀπὸ λεπτῆς ἀνι-

---

[1]) Codd. πρὸς ὀξεῖαν. — Schol. ὡς ὀξεῖαν. — Heyn. πρὸς ὀξύ.

[2]) Cod. D., Schol. et Schol. II. ἀποτελεῖν.

[3]) Ita Cod. D. et Schol. — Schow. εἰκότως οὖν νύκτα θοὴν ὠνόμασε. — Schol. II. εὐλόγως κτέ.

[4]) Schol. ἀποτερματίζουσαν τῆς ἐσχάτης σκιᾶς.

[5]) Cod. D. φυσικῶς δὲ διὰ τούτου ὁ λόγος ἀποδείκνυσιν, ὅτι σφαιροειδὴς ὁ κόσμος. — Schol. II. φυσικῶς δὲ τοῦ ὅλου ὁ λόγος. — Schow. φυσικῶς δὲ περὶ τούτου ὁ λόγος ἀποδείκνυσιν, ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος.

[6]) Ita Cod. D, Schol. et Schol. II.

[7]) Schol. ἀποπίπτειν φασίν.

[8]) Ita Cod. D. — Schow. ἐπειδὰν γὰρ ἔλ.

[9]) Schol. II. ἐστί.

[10]) Schow. τὸ περιλάμπον. — Cod. D. τὸ καταυγάζον φῶς.

[11]) τόπου e Schol. recepi, apud quem lacuna est ab hoc inde vocabulo usque ad κωνοειδῆ, orta, cum librarii oculi a priore καταλαμπομένου τόπου ad posterius aberrarent. Apud Schol. II. item in hoc loco est lacuna, eodem modo orta ab κορυφὴν ἀρχῆς usque ad πλατείας τῆς ἀρχῆς.

σταμένην τῆς κατὰ κορυφὴν ἀρχῆς· ὅταν δὲ μεῖζον ᾖ τὸ καταλάμπον φῶς τοῦ καταλαμπομένου τόπου, κωνοειδῆ συμβέβηκε [1]) τὴν σκιὰν ἀπὸ πλατείας τῆς ἀρχῆς εἰς λεπτὸν ἀποστενοῦσθαι πέρας. ἐπειδάν γε μὴν ἴσον ᾖ τῷ [2]) καταλαμπομένῳ τὸ καταλάμπον [3]), κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς. βουλόμενος οὖν Ὅμηρος τὸν ἥλιον ἀλληγορικῶς μείζονα τῆς γῆς [4]) κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως θοὴν [5]) τὴν νύκτα προσηγόρευσεν, εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν. ἅτ', οἶμαι, μήτε κυλινδροειδῶς, μήτε καλαθοειδῶς [6]) τῆς σκιᾶς πίπτειν δυναμένης, ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης.

---

[1]) Schol. συμβέβηκε γίνεσθαι.

[2]) Cod. D. ἴσον τῷ.

[3]) Schol. τὸ καταλάμπον τῷ καταλαμπομένῳ.

[4]) Cod. D. ἄλλως τὸν ἥλιον μείζω τῆς γῆς ἀποφῆναι, omisso in sequentibus ἀποδεῖξαι. — Schow. τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς.. — Legendum esse ἀλληγορικῶς, in aprico est. Apponam, ad taedium grammaticum minuendum, ut Valckenaerii utar verbis, hoc loco coniecturam in loco quodam Michaëlis Pselli, quam quo aptiore proponam loco non habeo, nec tamen silentio velim premere ac sepelire. Est Psell. d. Daemon. p. 85: Οἱ παρ' Ἕλλησι δαίμονες ἐχρησμῴδουν ἡρωϊκῶς, οἱ δὲ παρὰ Χαλδαίοις τὰς κλήσεις εἶχον τῇ Χαλδαίων γλώττῃ. Quo loco pro ἡρωϊκῶς arbitror legendum esse γραικῶς. Cf. notissimum Aristotelis locum in Meteorol. I. 14; Herodian. Epim. p. 12 Boiss. Γραικός, ὁ Ἕλλην· γραικίζω τὸ ἑλληνιστὶ λαλῶ κτέ. V. praeterea Interpp. ad Hesychium i. v., et Ducangii glossarium p. 263.

[5]) Ita cum Galii MS. Angl. Codd. A. et D., Schol. et Schol. II, qui addit γοῦν post εὐλόγως.

[6]) Desunt apud Schol. vocabula μήτε καλαθοειδῶς.

ὃ δὴ πρῶτος [1]) Ὅμηρος ἐκ μιᾶς λέξεως ὑπαινιξάμενος, τὰς μυρίας τῶν φιλοσόφων ἁμίλλας ὑποτέτμηκεν [2]).

## CAPUT XLVII.

*Καὶ* μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τοῦ κόσμου [3]) σφαιροειδές. βορέας μὲν γὰρ, ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος μέγα κῦμα κυλίνδει· τὴν γὰρ

---

[1]) D. ὁ πρῶτος.

[2]) Ita *Schol.* — *Gal.* ἐπιτέτμηται. — *Schow.* ἐπιτετίμηται. — *Cod. D.* ἐπιτετίμηκε. De praepositionum ὑπό, ἐπί et ἀπό crebra commutatione nil attinet prolixius monere. Nec tamen quam late istud vitium pateat, inutile erit nonnullis insuper exemplis demonstrare. Apud Isocratem Panegyr. 101. (p. 68 Bekk.) nunc rite ac bene editur: ὅτι τῶν πόλεων τῶν ὑφ' ἡμῖν οὐσῶν οὐδεμία τοιαύταις συμφοραῖς περιέπεσεν. Quod antequam a Bekkero e praestantissimo Codice Urbinate fuit receptum, aequo animo quotquot fuere Isocratis editores ac sospitatores, tulerunt τῶν ἐφ' ἡμῖν οὐσῶν. Apud Lucian. Ver. Hist. I. 28 ita vulgo legitur: Ἐμβάντες δὲ εἰς τὸν Ζωδιακὸν ἐν ἀριστερᾷ παρῄειμεν τὸν Ἥλιον, ἐν χρῷ τὴν γῆν παραπλέοντες· οὐ γὰρ ἀπέβημεν, καίτοι πολλὰ τῶν ἑταίρων ἐπιθυμούντων· ἀλλ' ὁ ἄνεμος οὐκ ἀφῆκεν. Quod plane ridiculum est. Pro ἀφῆκεν absque omni dubitatione reponendum est ἐφῆκεν. Eiusdem opusculi Lucianei lib. II. § 5: Κατὰ δὲ τὴν πρῷραν μία πλατεῖα καὶ ταπεινή, σταδίους ἀπέχουσα οὐκ ἐλάττους πεντακοσίων, eodem modo pro ἀπέχουσα legendum est ἐπέχουσα. Obliterata atque restituenda est praepositio ἐπί apud Xenophontem in Oecon. Cap. VII. 13: Ἐγώ τε γὰρ ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν ἀποφαίνω, σύ τε ὅσα ἠνέγκω πάντα εἰς τὸ κοινὸν κατέθηκας. Verum hoc loco est ἐπηνέγκω.

[3]) Ita cum Gal. MS. Angl. Codd. A. et D.

ἀπὸ τοῦ μεταρσίου φορὰν ἐπὶ τὸ ταπεινότερον ἐκ μιᾶς [1]) λέξεως κατεκύλισεν [2]) ὁ στίχος. τοὔμπαλιν δ' ἐπὶ τοῦ νότου, πνέοντος ἀπὸ τῶν κάτω [3]) τόπων, ἱστόρησεν· [4])

Ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ, [a])

τὴν ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀνακυλίει. [5]) ἔτι γε μὴν μετὰ τῶν ἄλλων ἀπείρονα γαῖαν ὀνομάζει. καὶ πάλιν ἐπὶ τῆς Ἥρας·

εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης [b]).

Οὐ δή που [6]) μαχομέναις δόξαις πρὸς αὐτὸν [7]) στασιάζων· ἀλλ' ἐπειδὴ [8]) πᾶν σφαιροειδὲς σχῆμα καὶ ἄπειρόν [9]) ἐστι καὶ πεπερασμένον· τῷ μὲν γὰρ ὅρον τινὰ [10]) καὶ περιγραφὴν ἔχειν [11]), εὐλόγως αὐτὸ πεπεράνθαι [12])

---

[1]) Schol. οὐκ ἐκ μιᾶς.

[2]) Ita cum Schow. A. et D. — Schol. κατεκύκλικεν.

[3]) Schol. κατωτάτω.

[4]) Ita Codd. et Schol. — Heynius ingeniose ἐς τὸ ῥίον. Quid scripserit Heraclitus, mihi non liquet.

[5]) Cod. D. et uterque Scholiasta ἀνακυκλοῖ. — Cod. A. ἀνακυλεῖ. — Explicit in hoc ipso vocabulo Scholion ad Il. Ω. 366.

[6]) Schol. οὐδέπω.

[7]) Ita A. — αὐτόν D.

[8]) D. ἐπεί.

[9]) Schol. σχῆμα ἄπειρον.

[10]) τὸ δὲ ὅρον τινά Schol.

[11]) Schol. ἔχον.

[12]) A. πεπειρᾶσθαι. — D. πεπερά[σ]νθαι. — *Gesn.* πεπειρᾶσθαι. — *Schow.* πεπερᾶσθαι. Succenseas paene Schowio, Gesnerum Galiumque perstringenti, dum ipse barbaram soloecamque formam reponit.

*a*) V. Od. Γ. v. 295.

*b*) V. Il. Ξ. 200.

νομιστέον· ἄπειρον δ' ἂν ὁ κύκλος ὀνομάζοιτο δικαίως [1]), ἐπειδήπερ [2]) ἀμήχανόν ἐστι δεῖξαι πέρας ἐν αὐτῷ τι· τὸ γὰρ νομισθὲν εἶναι τέλος ἐξ ἴσου γένοιτ' ἂν ἀρχή [3]).

## CAPUT XLVIII.

Ταυτὶ μὲν οὖν ἀθρόα τεκμήρια τοῦ σφαιροειδῆ τὸν κόσμον εἶναι παρ' Ὁμήρῳ. τὸ δ' ἐναργέστατόν ἐστι σύμβολον ἡ τῆς Ἀχιλλέως ἀσπίδος κατασκευή· κυκλοτερὲς

---

[1]) Fort. leg. ἄπειρος δ' αὖ ὁ κύκλος ὀνομάζοιτ' ἂν δικαίως.

[2]) D. ἐπείπερ.

[3]) Pertinent procul dubio ad hunc locum, quae exstant in Porphyrii Scholio ad Il. Ξ. 200: ξυνὸν ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας κατὰ τὸν Ἡράκλειτον, atque recte, ut videtur, ita senserunt Heyn. ad Il. Vol. VI. p. 564, et Schaeferus, quum Heracliti nomen defenderet contra Bastium ad Greg. Cor. p. 170. Aliter visum est amicissimo I. Bernaysio, qui in Heracliteis I. p. 27, Heraclito philosopho ista vocabula studet vindicare, quoniam scilicet Ionicum ξυνόν demonstraret, Heraclitum hoc loco laudatum non posse esse Allegoriarum scriptorem. Cui argumento in tanta rerum traditarum similitudine haud ita multum tribuerim. Excitantur enim non ipsa Heracliti vocabula, sed Porphyrius, quid apud illum invenerit, breviter indicat. Quem subit mirari ista voce esse usum. Nec tamen idoneam hanc iudicaverim rationem, cur nostro Heracliti loco Porphyrium neges fuisse usum, siquidem fuit Porphyrius, qui istud Scholion conflavit. Istis enim in nominibus exarandis quam negligenter versati sint librarii vel rubricatores, ex ipsis illis Scholiis manifesto apparet, quibus operis Heraclitei fragmenta continentur. Quae modo invenies Heracliti, modo Porphyrii, modo nullo omnino nomine insignita. At fuerit Porphyrius, cui scholion debetur. Porphyrium par est sibi sumpsisse quod commisisse Plotinum nequit addubitari. Scripsit enim ille Enn. 5, 6, pag. 668. B. (Creuz.): διὸ καὶ ξυνὸν τὸ φρονεῖν.

γὰρ [1]) τῷ σχήματι κεχάλκευκεν [2]) ὅπλον Ἥφαιστος, ὥσπερ εἰκόνα τῆς κοσμικῆς περιόδου· μυθικῶς μὲν οὖν ἀσπίδα χαλκευομένην ὑποστησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ, τὴν διὰ πάντων ἐνεχάραξε [3]) πορείαν [4])· τίς δ' ἦν αὕτη;

στησάμενοι δὲ μάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ κὴρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα [5]) κατὰ μόθον [6]) ἕλκε ποδοῖιν [a]).

Ταῦτα γὰρ [7]) ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος. νῦν δ'

---

[1]) Schow. σύμβολον τῆς Ἀχιλλέως ἀσπίδος κατασκευῆς. Veram lectionem, quae est in Cod. D. et apud Schol., iam Heynius indicaverat.

[2]) Ita A., D. et Schol. — Gal. et Schow. κεχάλκευεν.

[3]) Schol. ἐχάραξε.

[4]) Perperam ut videtur, Gesnerus accepit atque vertit vocabula: τὴν διὰ πάντων ἐνεχάραξε πορείαν »*suam de universo mundo scientiam in eo sculpsit.*" Immo ad Achillem haec pertinent, et Homerum dicit scriptor scutum Achilli conveniens descripturum, Achillis universam vitae rationem (τὴν διὰ πάντων πορείαν sc. τοῦ Ἀχιλλέως) in eo sculpsisse. Tum demum intelligi possunt et vocabula τίς δ' ἦν αὕτη; et quae post Homericos versus sequuntur: ταῦτα γὰρ ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος. Itaque fortasse legendum est: μυθικῶς μὲν οὖν ἀσπίδα χαλκευομένην ὑποστησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ, Ἀχιλλέως τὴν διὰ πάντων ἐνεχάραξε πορείαν. At potest haud ita inepte ipsum vocabulum πορεία novae dubitationi praebere ansam.

[5]) Schow. τεθνειῶτα.

[6]) Ita A., D., et Schol. — Schow. κατὰ χθονός.

[7]) Schol. μέν. [a]) V. Il. Σ, v. 533—537.

Ὅμηρος, ἰδίᾳ τινὶ φιλοσοφίᾳ [1]) δημιουργῶν τὸν κόσμον, εὐθὺς τὰ μέγιστα τῆς προνοίας ἔργα μετὰ τὴν ἀδιευκρίνητον [2]) καὶ κεχυμένην ὕλην ἐχάλκευσεν·

> ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν
> ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν [a]).

ἡ τῆς κοσμικῆς γενέσεως εἱμαρμένη πρῶτον [3]) θεμελιοῦχον ἐκρότησε τὴν γῆν· εἶτα ἐπὶ ταύτῃ, καθάπερ τινὰ θείαν στέγην [4]) τὸν οὐρανὸν ἐπωρόφωσε, καὶ κατὰ τῶν ἀναπεπταμένων αὐτῆς κόλπων ἀθρόαν ἔχεε τὴν θάλατ-

---

[1]) Ita cum Galii Manuscr. Angl. A., D. et Scholiasta.

[2]) Schol. ἀδιακρίνητον.

[3]) Schol. πρῶτον μέν.

[4]) Quamquam erunt haud dubie, qui in alienas res alienosque a proposito scriptores excurrendi studium vitio mihi vertent, tamen a me non possum impetrare, quin arripiam occassionem proponendi egregiam Valckenaerii emendationem, quae exstat in epistola Valckenaerii ad I. St. Bernardum, cuius commercii literarii, in bibliotheca Leidensi asservati eam, quae maximi est momenti partem, propediem publici iuris facere mihi est in propositis. Cuius rei iam mihi fecit potestatem I.Geelius, thesauri, cui praeest, liberalis simul ac prudens dispensator. Valckenaerius igitur correxit in ista epistola (neque quantum scio emendationem uni vel alteri librorum inseruit; qua saltem Platonis editorum nullus adhuc est usus) locum Platonis e Timaeo, pag. 73. D: καὶ, καθάπερ ἐξ ἀγκυρῶν, βαλλόμενος ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς, περὶ αὐτὸ ξύμπαν ἤδη τὸ σῶμα ἡμῶν ἀπειργάζετο· στέγασμα μὲν αὐτῷ πρῶτον ξυμπηγνὺς περὶ ὅλον ὀστέινον. Quod enim impedit ac pessumdat sententiam περὶ ὅλον, ei substituit adiectivum περίβολον, et sententiae medens et sententiarum, quem vocant, nexui.

a) V. Il. Σ, v. 483—484.

ταν, εὐθὺς θ' ἡλίῳ καὶ σελήνῃ [1]) τὰ διακριθέντα τῶν στοιχείων ἀπὸ τοῦ πάλαι [2]) χάους ἐφώτισεν.

ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται [a]).

δι' οὗ μάλιστα σφαιροειδῆ παραδέδωκεν [3]) ἡμῖν τὸν κόσμον. ὥσπερ [4]) γὰρ ὁ στέφανος κυκλοτερὴς τῆς κεφαλῆς κόσμος ἐστὶν, οὕτω τὰ διεζωκότα τὴν οὐράνιον ἁψῖδα [5]), κατὰ σφαιροειδοῦς ἐπηρμένα [6]) σχήματος, εἰκότως οὐρανοῦ στέφανος ὠνόμασται [7]).

## CAPUT XLIX.

Διακριβολογησάμενος δ' ὑπὲρ τῶν ὁλοσχερῶν ἀστέρων [8]),

---

[1]) Ita D. et Schol. — Schow. ἡλίῳ τε καὶ σελήνῃ.

[2]) Schol. παλαιοῦ.

[3]) D. παρέδωκεν. [4]) D. ὡς.

[5]) Excidit aut subintelligendum est ἄστρα. *Heyn.*

[6]) D. ἐπηρμένα σχήματα. — *Schol.* ἐπηρμένον σχήματος. — *Schow.* ἐσπαρμένα σχήματος. — *Heyn.* ἐσπειρημένα σχήματος. De quo loco talia Hasius in Bredow. Ep. Paris. p. 247: »Sed ἐπηρμένα bene dici posse puto de astris, quod sint sublimia: qua eadem significatione Latini *sublatus* dicunt et *suspensus*. Cf. Ioann. Chrysostom. edit. Opp. Etonae 1612. Tom. I. p. 1065: ὑψηλὸς ἦν ὁ θρόνος, τουτέστι μέγας καὶ ὑπερμήκης, καὶ ἐπηρμένος, τουτέστι καὶ ἐν ὕψει φαινόμενος ἀφάτῳ καὶ μετέωρος. Et Iosephus pag. 867. f. arcem dicit εἰς ἄπειρον ὕψος ἐπηρμένην.

[7]) Schol. στέφανον ὠρόφωσεν. — Cf. Euseb. d. Laud. Const. VI. 728: τὸν σύμπαντα οὐρανὸν, οἷον μέγαν πέπλον παντοίοις γραφῆς κάλλεσιν ἐστεφάνωσεν.

[8]) Ita cum Gal. MS. Angl. A. et D.

[a]) V. Il. Σ. v. 485.

τὰ κατὰ [1]) μέρος ἐπιφανέστατα δεδήλωκεν· οὐ γὰρ ἠδύνατο πάντα θεολογεῖν, ὥσπερ Εὔδοξος ἢ Ἄρατος, Ἰλιάδα γράφων· πάλιν δ᾽ ἀλληγορικῶς μεταβέβηκεν ἐπὶ [2]) τὰς δύο πόλεις, τὴν μὲν εἰρήνης, τὴν δὲ πολέμου παρεισάγων [3]), ἵνα μηδ᾽ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος παρ᾽ ἄλλου [4]) τινὸς ἢ παρ᾽ Ὁμήρου τὴν Σικελικὴν ἀρύσηται δόξαν [5]). ἅμα γὰρ τοῖς τέσσαρσι [6]) στοιχείοις κατὰ τὴν φυσικὴν θεωρίαν παραδέδωκε τὸ νεῖκος καὶ τὴν φιλίαν· τούτων δ᾽ ἑκάτερον [7]) Ὅμηρος ὑποσημαίνων, δύο πόλεις [8]) ἐνεχάλκευσε τῇ ἀσπίδι, τὴν μὲν

---

[1]) D. τοὺς κατά. — Schow. καὶ κατά. — A. κατὰ μέρος.

[2]) Quomodo textum edidi, ita repraesentatur in Cod. D. Quae apud Schowium atque in reliquis Codd. leguntur, documento sunto, ne ab Heraclito quidem Heraclitique similibus scriptoribus manus abstinuisse librarios interpolatoresque. Ita enim Schowius: ὥσπερ Εὔδοξος ἢ Ἄρατος (Schol. ἀρμά ), ἰλιάδα γράφειν (Schol. et A. γράφων) ἀντὶ τῶν (Schol. ταῦτα ἀντὶ τῶν μὴ) φαινομένων ὑποστησάμενος ἑαυτῷ· μεταβέβηκεν οὖν ἀλληγορικῶς κτἑ.

[3]) Ita cum Galei MS. Anglico Codd. A., D. et Schol.

[4]) A., D., Schol. et Schow. ἀπ᾽ ἄλλου.

[5]) Cff. Schow. ad h. l., Karsten. ad Empedocl. fragm. p. 54, annot. 155, et Th. Bergk. in Actis Soc. Gr. Lips. I. p. 203. et v. Hom. P. V. p. 331 (Gal.): καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων ὅτι οὐκ ἀπείρως Ὅμηρος εἶχεν, φανερόν ἐστιν ἐξ ὧν πεποίηκε, πληϊάδας κτἑ.

[6]) D. τέτρασι.

[7]) D. ἑκάτερα.

[8]) Ita scripsi Scholiastae auctoritatem secutus. Schowius enim et Codd. δύο vocabulum omittunt.

εἰρήνης, τουτέστι φιλίας 1), τὴν δὲ πολέμου, τουτέστι 2) νείκους.

## CAPUT L.

Πτύχας δ' ὑπεστήσατο τῆς ἀσπίδος πέντε, σχέδον οὐκ ἄλλο τι, πλὴν 3) τὰς ἐμπεποικιλμένας τῷ κόσμῳ ζώνας ὑπαινιξάμενος. ἡ μὲν γὰρ ἀνωτάτω 4) περὶ τὸν βόρειον εἰλεῖται πόλον 5)· ἀρκτικὴν δ' αὐτὴν ὀνομάζουσιν. ἡ δ' ἐφεξῆς εὔκρατός ἐστιν. εἶτα τὴν τρίτην διακεκαυμένην καλοῦσιν. ἡ τετάρτη δ' ὁμωνύμως 6) τῇ δευτέρᾳ 7) εὔκρατος ὀνομάζεται. πέμπτη δ' ἐπωνύμως 8) τοῦ νοτίου 9) μέρους, ἡ νότιός τε καὶ ἀντάρκτιος 10) καλουμένη. τούτων αἱ μὲν δύο τελέως ἀοίκητοι διὰ τὸ κρύος, ἥ τε τὸν βόρειον εἰληχυῖα πόλον, καὶ ἡ τὸν ἀπαντικρὺ 11) νό-

1) Apud Schowium atque in Cod. A. ante *φιλίας* articulus *τῆς* fuit additus; quod eo Heynium adegit, ut ante *νείκους* item articulum existimaret esse inserendum.

2) D. *ἤτοι νείκους.*

3) A. *πλὴν οὐκ ἐμπεποικιλμένας.*

4) D. *ἀνώτατος.*

5) D. *πόλις.*

6) Ita A., D. et Schol. — Schow. *ἡ δὲ τετάρτη ὁμωνύμως.*

7) Unde Gesnerus Schowiusque *πρότερον* vocabulum, quod apud eos inter *δευτέρᾳ* et *εὔκρατος* legebatur, in textum invexerint, non statim apparet. Quod ut Heynius arbitrabatur esse tollendum, ita nec in Codd. A. et D, nec apud Scholiastam exstat.

8) D. *ὁμωνύμως.*

9) Schol. *νοτείου* et paullo infra *νότειος.*

10) Schol. *ἀντέστιος.*

11) Ita A. et D. — Schow. et Schol. *καὶ τὸν ἀπαντικρύ.*

τιον 1)· ὁμοίως δ' ἐν αὐταῖς ἡ διακεκαυμένη καθ' ὑπερβολὴν τῆς πυρώδους οὐσίας οὐδενὶ βατὴ ζῴῳ. δύο δὲ τὰς εὐκράτους φασὶν 2) οἰκεῖσθαι, τὴν μέσην ἀφ' ἑκατέρας ζώνης κρᾶσιν ἐπιδεχομένας. ὁ γοῦν Ἐρατοσθένης καὶ σφοδρότερον ἐν τῷ Ἑρμῇ ταῦτα 3) διηκρίβωσεν, εἰπών 4)·

*Πέντε δέ οἱ 5) ζῶναι περιηγέες 6) ἐσπείρηνται 7).*
*Αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι 8) κυάνοιο.*
*Ἡ δὲ μία ψαφαρή 9) τε καὶ ἐκ πυρὸς 10), οἷον ἐρυθρή 11),*
*Τυπτομένη φλογμοῖσιν· ἐπεί ῥά ἑ μοῖραν ἐπ' αὐτήν*
*Κεκλιμέναι 12) ἀκτῖνες ἀειθερέες πυρόωσιν.*

---

1) Schol. *νότον.*

2) Schol. *φησίν.*

3) Ita D. — Schow. *ταύτας.* — A. *ταύτῃ.*

4) Conferantur super his Eratosthenis versibus, qui maioris fragmenti efficiunt partem, Achilles Tatius, Isagog. ad Arat. p. 153; I. Scaliger. ad Manil. p. 320; Fulvius Ursinus, Virg. illustr. p. 114 (Valcken.); Fell., fragmenta Eratosthenis p. 46, et Bernhardy, Eratosthenica pag. 144 sqq.

5) Achilll. Tat. *αἱ* — Schow. *δὲ οἱ.*

6) Ach. Tat. *περιειλάδες.*

7) Schol. *ἐσπείρηντο.*

8) Ach. Tat. et Schol. *κελαινοτέρου.*

9) Schol. *ψαφαρά.*

10) Ita cum Ach. Tatio Codd. A. et D. — Schow. et Schol. *ἔκπυρος.*

11) Minus accurate Bernhardy l. l.: *priores octo versus allegavit Heraclides, Allegor. Hom. c. 50*; quum qui quartus est apud Ach. Tat. et Bernhard. versus, non solum Scholiastae Homerico, sed ipsi quoque Heraclito sit omissus. Qui versus ita audit:

*ἡ μὲν ἔην μεσάτη, ἐκέκαυτο δὲ πᾶσα περὶ πρό.*

12) Scripsi corrupta vocabula, quomodo exstant apud Schowium.

Αἱ δὲ δύω, ἑκάτερθε [1]) πόλοιο περιπεπτηυῖαι [2]),
Αἰεὶ κρυμαλέαι [3]), αἰεὶ δ' ὕδατι μαγέουσαι.

Ταύτας οὖν Ὅμηρος πτύχας ὠνόμασεν, δι' ὧν [4]) φησίν·

ἐπεὶ πέντε πτύχας [5]) ἤλασε κυλλοποδίων,
Τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
Τὴν δὲ μίαν χρυσῆν· [a])

τὰς μὲν ἀνωτάτω κατὰ τοὺς ἀλάμπεῖς μυχοὺς [6]) τοῦ κόσμου κειμένας δύο ζώνας χαλκῷ προσεικάσας· ψυχρὰ γὰρ ἡ ὕλη, καὶ κρύους μεστή. λέγει γοῦν ἑτέρωθί που·

ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι.

---

Est apud Achill. Tat. *ἐπιρασμοῖραν ὑπ' αὐτὴν κεκλιμένοι ἀκτῖνες*, apud Schol. Hom. *ἐπεί ῥά ἑ μαῦραν ἐπ' αὐτὴν κεκλιμένην*, in Cod. D. denique *ἐπεὶ ῥὰ μοῖραν*. Pro *κεκλιμένην* aut *κεκλιμένοι* videtur haud dubie *κεκλιμέναι* esse restituendum. Speciosum est, quod e portentosis istis librariorum commentis elicuit Bernhardyus, *ἐπεί ῥα ἄναυροι ἐπ' αὐτήν κτέ.* Nec tamen reticebo, quod ipse excogitavi. Eratosthenem enim arbitror scripsisse: *ΕΠΕΙ ΡΑ ΣΜΕΡΔΝΟΝ ΕΠ' ΑΥΤΗΝ* (*ἐπεί ῥα σμερδνὸν ἐπ' αὐτήν*), quod haud ita procul videtur abesse ab eo, quod Achill. Tat. Codd. exhibent: *ΕΠΙΡΑΣΜΟΙΡΑΝ ΥΠ ΑΥΤΗΝ*.

1) Schol. *ἑκάτερθεν*.

2) Ita Ach. Tat. — Schow. et Codd. *περιπεπηγυῖαι*.

3) Ita Schow. et Codd. — Schol. *βριμαλέαι*. — Ach. Tat. *φρικαλέαι*.

4) A., D. et Schow. *ἐξ ὧν*, solemni vitio.

5) Schol. *ἐπὶ δὲ πέντε πτύχας*. — D. *ἐπὶ δὲ .... πτύχας*.

6) Ita A. et D. — Schow. et Schol. *τὸν ἀλαμπῆ μυχόν*.

a) V. Il. Υ. v. 270 sqq.

τὴν δὲ μίαν χρυσῆν τὴν διακεκαυμένην· ἐπειδήπερ [1]) ἡ πυρώδης οὐσία κατὰ τὴν χρόαν ἐμφερεστάτη χρυσῷ. δύο δ' ἐνδόθι κασσιτέροιο, τὰς εὐκράτους ὑποσημαίνων· ὑγρὰ γὰρ ἡ ὕλη, καὶ τελέως εὔτηκτος [2]) ἡ τοῦ κασσιτέρου, δι' ἧς τὸ περὶ τὰς ζώνας εὐαφὲς ἡμῖν καὶ μαλθακὸν δεδήλωκε [3]). τὸ μὲν οὖν ἐν οὐρανῷ σεμνὸν ἐργαστήριον Ἡφαίστου τὴν ἱερὰν φύσιν οὕτως ἐδημιούργησεν.

## CAPUT LII

Ἀνίσταται δ' εὐθὺς ὁ φρικώδης καὶ χαλεπὸς [4]) ἐφ' Ὁμήρῳ τῶν συκοφαντούντων φθόνος ὑπὲρ τῆς θεομαχίας. οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ παρ' αὐτῷ συνέρρωγεν [5]), ἀλλ' οὐράνιοι [6]) ταραχαὶ καὶ στάσεις τὸ θεῖον ἐπινέμονται; [7])

---

[1]) D. ἐπείπερ.

[2]) Codd. et Edd. εὔθικτος. Genuinam Heraclito lectionem restituerunt Hemsterhusius in annotatt. marginalibus ad h. l., et R. Hercherus (in Schneidewini Philolog. 1850. nº. 1), qui apposite allegavit Theophyl. Simoc. pag. 8 (ed. Boisson.): πᾶν γὰρ τηκτὸν πλείστης ἀνάγκη μετέχειν ὑγρότητος.

[3]) Schol. ἐδήλωσεν.

[4]) Cf. Schol. Il. Υ. v. 69, qui prima verba ita exhibet: φρικώδης καὶ χαλεπὸς ἀνίσταται ἐφ' Ὁμήρῳ κτέ.

[5]) Quomodo haec vocabula edidi, ita leguntur in Cod. A et apud Schol. — Cod. D. παρ' αὐτοῖς συνέρρωγεν. — Schow. παρ' αὐτῷ συνέρρωσεν.

[6]) Ita D. et Schol. — A et Schow. οὐράνιαι.

[7]) Quod est apud Schowium, ἀπονέμονται, ut sententia, ita Codd. A. et D., et Schol. consensu damnatur. Novum hoc commutatorum inter se perperam praepositionum exemplum. Quae

Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος [1], ἔχων ἰὰ πτερόεντα·
Ἄντα δ' Ἐνυαλίοιο [2] θεὰ γλαυκῶπις Ἀθήνη.
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινή,
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο.
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς.
Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης. [a])

οὐκέτι ταῦθ' Ἕκτωρ πρὸς Αἴαντα μαχόμενος, οὐδ' Ἀχιλλεὺς πρὸς Ἕκτορα, καὶ μετὰ Πατρόκλου Σαρπηδών· ἀλλὰ τὸν μέγαν οὐρανοῦ πόλεμον ἀγωνοτεθήσας Ὅμηρος, οὐδ' ἄχρι μελλήσεως τὸ κακὸν ὥπλισεν [3]), ἀλλ'

---

qui data opera anquireret, in unaquaque fere cuiusvis scriptoris pagina inveniret, quod notaret. Unum tantum, ne iusto longius a proposito aberrem, hoc loco addam exemplis supra a me propositis. Est apud Lucianum in faceto illo suavique Vocalium Iudicio §. 12 (pag. 21 Dind.): Ἐγὼ μὲν γὰρ οἶμαι δικαίως τοῦτο μόνον ἐς τὴν τοῦ ταῦ τιμωρίαν ὑπολείπεσθαι, τὸ τῷ σχήματι τῷ αὐτοῦ τὴν δίκην ὑποσχεῖν, ὃ δὴ σταυρὸς εἶναι ὑπὸ τούτου μὲν ἐδημιουργήθη, ὑπὸ δὲ ἀνθρώπων ὀνομάζεται. Pro ὑπὸ τούτου legendum esse ἀπὸ τούτου nemo arbitror admonitus dubitabit.

1) D. Ἵσταται Φοῖβος Ἀπόλλων.

2) D. ἄντα δ' Ἡφαίστοιο.

3) Ut utar Luciani modo instaurato loco, σταυρός hic ipse mihi factus est locus, cui emendando multam, sed irritam eam operam navavi. Quid sit restituendum ignoro. Neque ita comparatus esse videtur locus, ut felici unius cuiusdam vocabuli mutatione possit redintegrari. Fortasse perierunt nonnulla; nullam opem Codices afferunt. Quod enim et A., et D. μελήσεως habent pro μελλήσεως, nullius omnino est momenti.

a) V. Il. Υ. v. 67 sqq.

ὁμόσε τοὺς θεοὺς συνέῤῥαξεν [1]) ἀλλήλοις. ἑπτὰ μὲν γὰρ Ἄρης

ἐπέσχε πέλεθρα πεσών [2]),

μετὰ ταῦτα δ' Ἀφροδίτης [3])

λύτο γούνατα καὶ φίλον ἦτορ.

Ἄρτεμις δὲ καὶ προσεξυβρίσθη [4]), τοῖς ἰδίοις τόξοις [5]), ὡς νηπία [6]) κόρη σωφρονισθεῖσα [7]), Ξάνθος δὲ παρ' ὀλίγον οὐδὲ ποταμὸς ἐῤῥύη [8]) διὰ Ἥφαιστον.

---

1) Ita Schow. et Codd. — Schol. συνέῤῥαψεν.

2) Addita est apud Schowium altera versus Homerici pars (Il. Φ. v. 407): ἐκόνισσε δὲ χαίτας; sed omittuntur haec vocabula in utroque a me adhibito codice Heracliteo.

3) Ita Schow. — D. Ἀφροδίτη, cui lectioni ipse repugnat versus Homericus (Il. Φ. 425): . τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.

4) Ita Schol. — Schow. προσεξύβρισται.

5) Vocabula τοῖς ἰδίοις τόξοις omissa sunt in Cod. D. — Schol. τ. ἰδ. ὅπλοις.

6) Cod. A. τόξοις ἀνηπία κόρη.

7) Schol. σωφρονισταῖσα.

8) Videtur recipiendum esse, quod Scholiasta tuetur, Ξάνθος δὲ παρ' ὀλίγον ὁ ποταμὸς ἐῤῥύη. Vocabulum ῥέω ea vero significatione censeas hoc loco esse accipiendum, qua legitur v. c. apud Platonem in Phaed. 87. D: εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ κτέ. Neque insuavis est verborum lusus in ποταμῷ isto ῥέοντι, sed ῥέοντι hac significatione. Revocat mihi in memoriam ῥέων iste utrovis modo Ξάνθος alterius cuiusdam fluminis ῥοάς, cuius mentionem facio hoc loco, ut in uno eodemque exemplo librariorum ostendam editorumque turpe vitium. Exponit Schol. Apoll. Rh. IV. 269 hisce de Nilo flumine: Καὶ ποταμὸς Τρίτων. Περὶ τῆς τοῦ

## CAPUT LIII.

Ὅμως δ' οὖν πάντα ταῦτα [1]) κατ' ἀρχὰς [2]) μὲν οὐδ' ὅλως σφόδρα πείθειν δύναται [3]) τοὺς πολλούς. εἰ δὲ θελήσει [4]) τίς, ἐνδοτέρω καταβὰς τῶν ὁμηρικῶν ὀργίων, ἐποπτεῦσαι τὴν μυστικὴν αὐτοῦ σοφίαν, ἐπιγνώσεται τὸ δοκοῦν αὐτῷ ἀσέβημα πηλίκης μεστόν ἐστι φιλοσοφίας. ἐνίοις μὲν οὖν ἀρέσκει, τὴν τῶν ἑπτὰ πλανήτων ἀστέρων ἐν ἑνὶ ζῳδίῳ σύνοδον ὑφ' Ὁμήρου διὰ τούτων ἐλεγχθῆναι [5]). φθορὰ δὲ παντελὴς, ὅταν τοῦτο γένηται. σύγχυσιν οὖν τοῦ παντὸς ὑπαινίττεται [6]), συνάγων εἰς ἓν Ἀπόλλωνα [7]), τουτέστιν ἥλιον, καὶ Ἄρτεμιν, ἣν

---

Νείλου ἀναδόσεως διάφοραι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο· Ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν. Ὧι ἕπεται καὶ Εὐριπίδης, λέγων·

*Εἱλουμένη δὲ καλλιπάρθενος ῥοὴ*
*λευκῆς τακείσης χιόνος ὑγραίνει γύην.*

Euripidis Helenae hos esse versus 1 et 3, recte agnovit Wellauerus, nec tamen ausus est restituere, quae in omnibus leguntur editionibus Euripidis atque apud Schol. Apollonii, rubricatoris fortasse culpa, facta sunt evanida:

*Νείλου μὲν ἥδε καλλιπάρθενος ῥοή,*

aut potius αἵδε — ῥοαί.

[1]) D. ταῦτα πάντα. [2]) Schol. ἀρχήν.

[3]) D. et Schol. δύνανται.

[4]) Ita D. et Schol. — Schow. δ' ἐθελήσει. — A. δ' ἐθελήσαι.

[5]) Ita D. — Schow. δὴ λεχθεῖσαν.

[6]) Ita A., D. et Schow. — Schol. ἐπαινίττεται.

[7]) Schol. Ἀπόλλ$^{ω}$, i. e. Ἀπόλλωνα. Villoisonus, quod edito-

φαμὲν εἶναι σελήνην, τόν τε τῆς Ἀφροδίτης καὶ Ἄρεος [1], ἔτι δὲ καὶ Ἑρμοῦ καὶ Διὸς ἀστέρα. ταύτην μὲν οὖν πιθανότητος [2]) μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν παρειλήφαμεν [3]. ἃ δ' ἔστιν ἐναργέστερα καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα [4], ταῦτα δὴ σκοπεῖν ἀναγκαῖον.

## CAPUT LIV.

Ἀντέταξε γοῦν κακίαις [5] μὲν ἀρετάς [6], ταῖς δὲ μαχομέναις φύσεσι τὰς ἀντιπάλους [7]. αὐτίκα γοῦν [8] τῶν θεῶν ἡ ζεῦξις οὕτω πεφιλοσόφηται τῆς μάχης· Ἀθηνᾶ καὶ Ἄρης, τουτέστιν [9] ἀφροσύνη καὶ φρόνησις [10]. ὁ

---

rum vitium ad hunc usque diem ludificatur eos, qui artes grammaticas conscribunt, edidit *Ἀπόλλω*, atque ita editum est centenis locis, quibus utuntur, qui nesciunt, hanc formam iis deberi, qui cum codices graecos legerent atque conferrent, in notissimis haerebant tachygraphorum notis ac siglis.

1) Ita A. et Schol. — Schow. *Ἄρεως*.

2) Schol. *πιθανωτάτην*.

3) Argutatur ad hunc locum Heynius, cum haec annotat: »Haerebam an argutiae scriptoris ducerent ad *παρηλείφαμεν*, quod Atticis esset *παραληλίφαμεν*, *allevimus*."

4) Videtur scripsisse Heraclitus *ἐγγυτέρω ἐχόμενα* vel *μᾶλλον ἐχόμενα*. Quod etiam Gesnerus est suspicatus, quum ita locum verteret Latine: »Nunc vero clariorem, et Homeri sapientiae *magis* convenientem sensum consideremus."

5) Schol. *κακίας*.

6) Schol. *ἀρεταῖς*.

7) Fort. leg. est: *ταῖς δὲ φύσεσι μαχομένας τὰς ἀντιπάλους*.

8) Addidi *γοῦν* e Cod. D.

9) D. *ἤτοι*.

10) Cf. Schol. Il. Υ, v. 69: *παρθένος ἡ Ἀθηνᾶ, ὁ δ' Ἄρης*

μὲν γὰρ, ὥσπερ [1]) ἔφην, μαινόμενός ἐστι, τυκτὸν κακὸν, ἀλλοπρόσαλλος [2]). ἡ δ' ἐν πᾶσι θεοῖς [3]) μήτι τε κλέεται καὶ κέρδεσιν [a]). Ἀδιάλλακτός γε [4]) μὴν ἔχθρα τοῖς τὰ βέλτιστα διευκρινοῦσι λογισμοῖς πρὸς τὴν οὐδὲν ὁρῶσαν ἀφροσύνην. ὡς δὲ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, οὕτω τὰ τῆς μάχης διευκρίνησεν [5]). οὐ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων. ἐνίκησε δ' Ἀθηνᾶ τὸν Ἄρην, καὶ κατὰ γῆς [6]) ἐξέτεινεν· ἐπειδήπερ [7]) ἅπασα κακία χαμαιπετὴς ἐν [8]) τοῖς ταπεινοτάτοις ἔρριπται βαράθροις [9]), πατούμενον νόσημα, καὶ πρὸς πᾶσαν ὕβριν ὑποκείμενον [10]), ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην, τουτέστι τὴν ἀκολασίαν [11]).

---

μοιχός· καὶ ὁ Τρωϊκὸς δὲ πόλεμος ἐκ μοιχείας τὴν ἀρχὴν εἴληφεν.

[1]) D. ὡς.

[2]) Codd. et Edd. ἀλλοπρόσαλλον.

[3]) Ita A., D. et Schol. — Schow. θεοῖσι.

[4]) Schol. ἀδιάλλακτος μήν.

[5]) A. διευκρινοῦσι. — Schol. διευκρ. τὰ τ. μ.

[6]) Schol. τῆς γῆς.

[7]) D. ἐπείπερ.

[8]) Schol. καὶ ἐν.

[9]) Schol. ταπεινοτέροις ἔρριπται βάθροις.

[10]) Apud Schowium maior erat post ὑποκείμενον interpunctio, cui minorem substitui.

[11]) Cf. omnino Hom. P. V. (p. 328 Gal.): ὅπως δ' ἀντίκεινται ἀλλήλοις τὰ τῆς ἐναντίας φύσεως τετυχηκότα, αἰνίττεσθαι ἔοικεν ὁ ποιητὴς καὶ ἐν τῇ παρατάξει τῶν θεῶν, ἐν ᾗ πεποίηκε τοὺς μὲν τοῖς Ἕλλησι, τοὺς δὲ τοῖς Τρωσὶ βοηθοῦν-

[a]) V. Od. N. v. 298.

Τὼ μὲν ἄρ' [1]) ἄμφω κεῖντο [2]) ἐπὶ χθονὶ πουλυβοτείρῃ, συγγενῆ καὶ τοῖς πάθεσι γειτνιῶντα νοσήματα [3]).

## CAPUT LV.

Λητοῖ δ' ἀνθέστηκεν [4]) Ἑρμῆς· ἐπειδήπερ [5]) ὁ μὲν οὐδὲν ἄλλο πλὴν λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν ἑρμηνεύς [6]), λόγῳ δὲ πάντα [7]) μάχεται Λητώ, οἱονεὶ Ληθώ τις οὖσα καθ' ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονούμενον οὐκ ἔτι ἀγγελθῆναι δύναται. διὸ δὴ καὶ μητέρα Μουσῶν Μνημοσύνην ἱστοροῦσι, τὰς προστατίδας

---

τας, ἀλληγορικῶς ἐμφαίνων τὰς δυνάμεις ἑκάστου, καὶ τὸν μὲν Φοῖβον τῷ Ποσειδῶνι ἀντιτάσσει, τὸ θερμὸν καὶ ξηρὸν τῷ ὑγρῷ καὶ ψυχρῷ· τὴν δ' Ἀθηνᾶν τῷ Ἄρει, τὸ λογιστικὸν τῷ ἀλογίστῳ, τουτέστι τὸ ἀγαθὸν τῷ κακῷ, τὴν δὲ κτέ.

[1]) Schol. γάρ.

[2]) Schol. κεῖτο.

[3]) Ita Schol. et D. — Schow. γειτνιῶντα τὰ ν.

[4]) Schol. ἀντέστη.

[5]) D. ἐπεί.

[6]) Schow. λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν. — Schol. ἀργός ἐστι τ. ἔ. ἐ. ἡ. π. — D. λόγος ἐστί, reliquis omissis. — A. cum Schowio congruit. — Excidisse in fine sententiae vocabulum ἑρμηνεύς recte vidit R. Hercherus in Schneidew. Phil. 1850. I. cf. Heracl. All. 28: καὶ τὴν ἀποστελλομένην Ἶριν, ἄγγελον τοῦ Διός, τὸν εἴροντα λόγον ὑφίσταται, ὥσπερ Ἑρμῆν τὸν ἑρμηνεύοντα; ibid. 59: τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος, et quos Hercherus allegat MS. apud Osann. ad Corn. p. 275 et Euseb. d. Laud. Const. c. 13.

[7]) Ita D. — Schow. παντί.

λόγου [1]) θεὰς ἀπὸ μνήμης [2]) γεγενῆσθαι λέγοντες· εἰκὸς [3]) οὖν τὴν λήθην πρὸς ἀντίπαλον ἅμιλλαν ἐξωρμηκέναι· δικαίως δ' ὑπεῖξεν αὐτῇ [4]) · λόγου γὰρ ἥττα λήθη, καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν [5]) κωφῇ νενίκηται [6]) σιωπῇ· τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα.

---

[1]) Ita A., D. et Schol. — Schow. τοῦ λόγου.

[2]) Schow. ὑπὸ μνήμην cum A. — D. et Schol. ὑπὸ μνήμης.

[3]) Schol. εἰκότως.

[4]) Schol. αὐτ.

[5]) Cf. Plat. Symp. p. 213. E: καὶ μή μοι μέμφηται, ὅτι σὲ μὲν ἀνέδησα, αὐτὸν δὲ, νικῶντα ἐν λόγοις πάντας ἀνθρώπους, οὐ μόνον πρῴην, ὥσπερ σὺ, ἀλλ' ἀεὶ, ἔπειτα οὐκ ἀνέδησα.

[6]) Ante Schowium pro νενίκηται hoc loco editum erat νενίκηκε. Quam turpiter in verborum terminationibus tempora modosque et personas soliti fuerint permutare atque misceri librarii, in vulgus notum est. Quae eorum conniventia nescio an inscitia permultis scriptorum graecorum locis fuit perniciosa. Corruptorum hoc vitio locorum multi iam aut e melioribus Codd., aut epigonorum cura sunt restituti; at restat bona pars, qui medicum exspectant gnarum. Nonnullos data opportunitate e pluribus corrigam. Plat. Ion. p. 542. B. τοῦτο τοίνυν τὸ κάλλιον ὑπάρχει σοὶ παρ' ἡμῖν, ὦ Ἴων, θεῖον εἶναι καὶ μὴ τεχνικὸν περὶ Ὁμήρου ἐπαινέτην. leg. ὑπαρχέτω. — Stob. Append. e MS. Florent. (p. 4 Gaisf.): Μὴ μέντοι τοὺς νέους εἰς ἀθυμίαν, ὡς κατεγνωσμένους μηδὲν τῶν δεόντων πράττειν δύνασθαι, ἐμβαλέτω· πᾶν γὰρ τοὐναντίον προτρέπεσθαι αὐτοὺς ὀφείλει, πάντα τὰ προσήκοντα αὐτοῖς προθύμως ποιεῖν ἀσκεῖν, ὡς καὶ τιμὰς καὶ ἀρχὰς πρὸ γήρως ληψομένους· ἐκ γὰρ τούτου καὶ τοὺς πρακτικωτέρους βελτίους ποιήσεται; leg. ἐμβάλητε, ὀφείλετε et ποιήσετε.

## CAPUT LVI.

Ἤτοι μὲν γὰρ ἔναντα 1) Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος 2).

ὕδατι πῦρ ἀντέθηκε, τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας, τὴν δ' ὑγρὰν φύσιν Ποσειδῶνα 3). τούτων δ' ἑκάτερον 4) ὡς ἐναντίαν ἔχει 5) φύσιν, τί δεῖ καὶ λέγειν; φθαρτικὸν γὰρ κατ' ἐπικράτειαν ἀεὶ θατέρου θάτερον 6). καὶ μὴν ἀπὸ 7) λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύει 8) ἀμφοῖν τὴν μάχην, ἐπειδήπερ 9) ἡλίου τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον οὐσίαν, καὶ μάλιστα τὴν ἁλμυράν· λεληθότως γὰρ ἀπὸ γῆς 10) τὸ δί-

---

1) D. ἔναντι.

2) Addit Schol. alteram versus Homerici partem (Il. Υ. v. 68): ἔχων ἰὰ πτερόεντα.

3) Cf. Eustath. ad Hom. Il. Υ. 67 (p. 1268. 20): καλῶς γὰρ ἂν αἰδοῖτο ὁ Ἀπόλλων [ἥλιος] τὸν Ποσειδῶνα, εἴ γε κατά τινας τῶν λήρων φυσικῶν τροφεῖα τῷ Ποσειδῶνι ὀφείλει, ὡς ἐκ τῆς κάτωθεν ἀναπεμπομένης ὑγρότητος καὶ αὐτὸς, καθὰ καὶ οἱ λοιποὶ τῶν ἀστέρων, τροφὴν ἕλκων (leg. ἀνέλκων) καὶ οὕτω συνιστάμενος.

4) D. ἑκάτερα.

5) Schol. ἔχον.

6) Ita D. et A. — Schol. φθαρτικὰ γὰρ κατ' ἐπικράτειαν θατέρου. — Schow. φθαρτικὸν ἀεὶ κατ' ἐπ. θατέρου θάτερον.

7) Codd. et Edd. ὑπό. At cf. v. c. Thucyd. VI. 19: Καὶ ὁ Νικίας γνοὺς, ὅτι ἀπὸ τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειεν κτέ.

8) Praestat fort. Schol. lectio: διαλύειν ἐστίν.

9) D. ἐπείπερ.

10) Schol. ἀπὸ τῆς γῆς.

υγρον ἀνασπῶν τῆς ἀτμίδος, τούτῳ μάλιστα τὴν πυρώδη [1]) φύσιν αὔξει. χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθεστάναι [2]). διὰ τοῦθ' ὑπεῖξαν ἀλλήλοις.

## CAPUT LVII.

῞Ηρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινή,
῎Αρτεμις ἰοχέαιρα.

Οὐδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν ῞Ομηρος· ἀλλ', ὥσπερ [3]) ἔφην, ῞Ηρα μέν ἐστιν ὁ ἀήρ [4])· τὴν δὲ Σελήνην ῎Αρτεμιν ὀνομάζει· [5]) πᾶν δὲ τὸ τεμνόμενον ἀεὶ πολέμιόν ἐστι τῷ τέμνοντι· καὶ διὰ τοῦτ' ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεστήσατο, τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων. εἰκὸς [6]) δὲ ταχέως νενικῆσθαι τὴν σελήνην· ἐπειδήπερ [7]) ὁ μὲν ἀὴρ πολύς, καὶ πάντῃ κεχυμένος, ἡ δ' ἐλάττων [8]) καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθημάτων [9]) ἀμαυρουμένη, τοῦτο μὲν ἐκλείψεσι [10]),

---

[1]) D. πορφυρώδη.

[2]) Ita A. D. et Schol. — Schow. ἀνθιστάμενον.

[3]) D. ὡς.

[4]) Ita Schol. — Schow. ἀήρ.

[5]) Omnis Heracliti demonstratio ei superstructa est derivationi, secundum quam Artemis est quasi ᾿Αερότεμις, quemadmodum ᾿Αθηνᾶ est ᾿Αθρηνᾶ, vel Κύπρις Κυοπόρις. Vid. Schol. Il. Υ. 67. ῞Ηρα δ' ἐστὶν ἀήρ, ῎Αρτεμις δὲ Σελήνη, ἀερότεμίς τις οὖσα, ἡ τὸν ἀέρα τέμνουσα, ἐξ οὗ ἤρτηται. Similia docet Eustathius p. 1268. 50.

[6]) Schol. εἰκότως.

[7]) D. ἐπεί.

[8]) D. ἐλάσσων.

[9]) Schol. παθῶν.

[10]) A. ἐκλήψεσι. Iuvat proponere hoc loco Valckenaerii emen-

τοῦτο δ' ἀχλύϊ, καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις· διὰ τοῦτο τῆς νίκης τὰ 1) βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν.

## CAPUT LVIII.

"Αντα δ' ἄρ' Ἡφαίστοιο μεγὰς ποταμὸς βαθυδίνης·

Ἐν τοῖς ὑπὲρ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν οὐράνιον ἡμῖν αἰθέρα καὶ τὴν ἀκήρατον ἡλίου φλόγα δηλώσας 2), νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν 3) πῦρ, καὶ τοῦτο ἀνθώπλισε ποταμῷ, τὴν διάφορον ἑκατέρου 4) φύσιν εἰς μάχην παροξύνας 5). πρότερον μὲν οὖν εἰκον-

---

dationem, cuius notitia ex eodem mihi manavit fonte, cuius supra mentionem feci. Quae, ut ab ipso Valckenaerio in lucem sit edita, quod nescio, nondum ut par erat in editiones est recepta. Editur apud Eurip. Orest. v. 1086:

μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθήρ, εἴ σ' ἐγὼ προδούς ποτε
ἐλευθερώσας τοὐμὸν ἀπολίποιμί σε.

Corrigit Valckenaerius, quod clamat sententia et suadet concinnitas, μὴ λεῖμμά μου.

1) Schol. καὶ τά.

2) Cff. Eustath. ad Il. p. 1269. 15 et qui non in omnibus cum Heraclito convenit, Schol. Hom. Il. Υ. 69: Ἀπόλλων μὲν γὰρ ἐναντιοῦται Ποσειδῶνι, τὸ μερικὸν πῦρ τῷ παντὶ ὑγρῷ, et paullo infra: Ἥφαιστος δὲ Ξάνθῳ, τὸ ὅλον πῦρ μέρει τοῦ ὕδατος.

3) Cf. Heracl. Alleg. c. 26: δηλοῖ δὲ σαφῶς, ὅτι τοῦτο θνητόν ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν.

4) D. ἑκατέρων. — Schol. ἑκατέρῳ.

5) Schol. παροτρύνας.

τα [1]) τὸν ἥλιον Ποσειδῶνι παρεισάγει [2]), νῦν δὲ τὴν ὑγρὰν οὐσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου. τίς οὖν οὕτω μέμηνεν, ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὁμήρου φυσικῆς [3]) ταῦτα δι' ἀλληγορίας θεολογήσαντος.

## CAPUT LIX.

Ἐπὶ τέλει οὖν τῆς Ἰλιάδος [4]) καὶ σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα Πριάμῳ δεδήλωκεν, ἀλληγορήσας [5]). οὐδὲν γὰρ ἔοικεν οὕτω πειθήνιον ἀνδράσιν ὀργιζομένοις, οὐκ ἄργυρος, οὐ χρυσός, οὐ [6]) δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τοῦ λόγου πειθώ. Πάνυ γοῦν ἀληθῶς Εὐριπίδης [7])·

---

[1]) A. μὲν εἴκοντα.

[2]) Schol. παρεισάγει Ποσειδῶνι.

[3]) Textum dedi, quemadmodum est apud Schowium, eo tantum discrimine, quod φυσικῶς mutavi, nec temere ut videtur, in φυσικῆς. Nec tamen me fugit, Heraclitum, siquidem sapiebat, ita scribere non potuisse. Cui hoc fortasse est restituendum: οὔκουν οὕτω μέμηνεν, ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὅμηρος, φυσικῆς ταῦτ' αὐτοῦ δι' ἀλληγορίας θεολογήσαντος.

[4]) Vid. Schol. Il. Ω. v. 486.

[5]) Mutilum ac lacerum capitis initium sic fortasse est resarciendum: ἐπὶ τέλει οὖν τῆς Ἰλιάδος (omittit haec vocabula Schol.) σφόδρα ἐναργῶς Ἑρμῆν ἀκολουθοῦντα Πριάμῳ δεδήλωκε τὸν λόγον εἶναι, ἀλληγορήσας. Quod καί omisi ante σφόδρα, in eo secutus sum Cod. A. et Schol. auctoritatem. Addit post δέδηλωκε Schol. ὁ ποιητής.

[6]) Ita D. et Schol. — Schow. οὐδὲ ἡ διὰ δώρων.

[7]) Schol. Εὐριπίδης φησίν.

Οὐκ ἔστι Πειθοῦς ἱρὸν ἄλλο, πλὴν λόγος. [1])

Τούτῳ τε Πρίαμος, ὥσπερ ὀχυρᾷ [2]) παντευχίᾳ καθώπλισται· ᾧ καὶ μάλιστα τὴν Ἀχιλλέως ἐπέκλασεν [3]) ὀργὴν, οὐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους, δώδεκα δ' ἁπλοΐδας [4]) χλαίνας, τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας [5]) φωναὶ τοὺς ἄρσενας αὐτοῦ θυμοὺς ἐξεθήλυναν·

Μνῆσαι πατρὸς σοῖο [6]) θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τηλίκου ὥσπερ [7]) ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ [a]).

δι' ὀλίγου προοιμίου τῶν λόγων συνήρπασεν [8]) Ἀχιλλέα, καὶ σχεδὸν ἀντὶ Πριάμου γέγονε Πηλεύς. διὰ τοῦτο ἠλέ-

---

[1]) Versus est Euripidis ex Antigone (Dind. p. 81), quo utitur Aristophanes (Ran. 1391) ad perstringendum irridendumque poëtam. Cf. Schol. Aristoph. Ran. 1386 et Tzetz. ad Hes. Opp. 135, qui et alterum versum allegat:

καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει.

[2]) D. ἐχυρᾷ

[3]) Ita A., D. et Schol. — Schow. ἐπήλασεν, cui explicando irritam operam navavit Heynius. — Villoison. ἐπέκλα. At est in Cod. Ven. B. ἐπέκλ (α superscr.).

[4]) Ita D. et Schol. — A. δ. πλοΐδας. — Schow. διπλοΐδας, quod vulgatae apud Homerum (Il. Ω. 230) lectioni praeferendum esse iudicat Galius ad h. l., nec tamen accurate exposuit, cur ita sentiat.

[5]) Fort. leg. τοῦ ἱκεσίου. Addit Schol. αὐτοῦ post ἱκεσίας.

[6]) D. et Schol. σεῖο.

[7]) Ita Schol. — Schow. οἷος.

[8]) Schol. συναρπάσαντος et in iis, quae statim subsequuntur, γεγονότος Πηλέως.

a) V. Il. Ω. 486.

## CAPUT LIII.

Ὅμως δ' οὖν πάντα ταῦτα [1]) κατ' ἀρχὰς [2]) μὲν οὐδ' ὅλως σφόδρα πείθειν δύναται [3]) τοὺς πολλούς. εἰ δὲ θελήσει [4]) τίς, ἐνδοτέρω καταβὰς τῶν ὁμηρικῶν ὀργίων, ἐποπτεῦσαι τὴν μυστικὴν αὐτοῦ σοφίαν, ἐπιγνώσεται τὸ δοκοῦν αὐτῷ ἀσέβημα πηλίκης μεστόν ἐστι φιλοσοφίας. ἐνίοις μὲν οὖν ἀρέσκει, τὴν τῶν ἑπτὰ πλανήτων ἀστέρων ἐν ἑνὶ ζῳδίῳ σύνοδον ὑφ' Ὁμήρου διὰ τούτων ἐλεγχθῆναι [5]). φθορὰ δὲ παντελής, ὅταν τοῦτο γένηται. σύγχυσιν οὖν τοῦ παντὸς ὑπαινίττεται [6]), συνάγων εἰς ἓν Ἀπόλλωνα [7]), τουτέστιν ἥλιον, καὶ Ἄρτεμιν, ἣν

---

Νείλου ἀναδόσεως διάφοραι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο· Ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν. Ὧι ἕπεται καὶ Εὐριπίδης, λέγων·

*Ειλουμένη δὲ καλλιπάρθενος ῥοὴ*
*λευκῆς τακείσης χιόνος ὑγραίνει γύην.*

Euripidis Helenae hos esse versus 1 et 3, recte agnovit Wellauerus, nec tamen ausus est restituere, quae in omnibus leguntur editionibus Euripidis atque apud Schol. Apollonii, rubricatoris fortasse culpa, facta sunt evanida:

*Νείλου μὲν ἥδε καλλιπάρθενος ῥοή,*

aut potius *αἵδε* — *ῥοαί*.

1) D. ταῦτα πάντα. 2) Schol. ἀρχήν.

3) D. et Schol. δύνανται.

4) Ita D. et Schol. — Schow. δ' ἐθελήσει. — A. δ' ἐθελήσαι.

5) Ita D. — Schow. δὴ λεχθεῖσαν.

6) Ita A., D. et Schow. — Schol. ἐπαινίττεται.

7) Schol. Ἀπόλλ^ω, i. e. Ἀπόλλωνα. Villoisonus, quod edito-

φαμὲν εἶναι σελήνην, τόν τε τῆς Ἀφροδίτης καὶ Ἄρεος [1]), ἔτι δὲ καὶ Ἑρμοῦ καὶ Διὸς ἀστέρα. ταύτην μὲν οὖν πιθανότητος [2]) μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν παρειλήφαμεν [3]). ἃ δ' ἐστιν ἐναργέστερα καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα [4]), ταῦτα δὴ σκοπεῖν ἀναγκαῖον.

## CAPUT LIV.

Ἀντέταξε γοῦν κακίαις [5]) μὲν ἀρετάς [6]), ταῖς δὲ μαχομέναις φύσεσι τὰς ἀντιπάλους [7]). αὐτίκα γοῦν [8]) τῶν θεῶν ἡ ζεῦξις οὕτω πεφιλοσόφηται τῆς μάχης· Ἀθηνᾶ καὶ Ἄρης, τουτέστιν [9]) ἀφροσύνη καὶ φρόνησις [10]). ὁ

---

rum vitium ad hunc usque diem ludificatur eos, qui artes grammaticas conscribunt, edidit Ἀπόλλω, atque ita editum est centenis locis, quibus utuntur, qui nesciunt, hanc formam iis deberi, qui cum codices graecos legerent atque conferrent, in notissimis haerebant tachygraphorum notis ac siglis.

[1]) Ita A. et Schol. — Schow. Ἄρεως.

[2]) Schol. πιθανωτάτην.

[3]) Argutatur ad hunc locum Heynius, cum haec annotat: »Haerebam an argutiae scriptoris ducerent ad παρηλείφαμεν, quod Atticis esset παραληλίφαμεν, *allevimus*."

[4]) Videtur scripsisse Heraclitus ἐγγυτέρω ἐχόμενα vel μᾶλλον ἐχόμενα. Quod etiam Gesnerus est suspicatus, quum ita locum verteret Latine: »Nunc vero clariorem, et Homeri sapientiae *magis* convenientem sensum consideremus."

[5]) Schol. κακίας.

[6]) Schol. ἀρεταῖς.

[7]) Fort. leg. est: ταῖς δὲ φύσεσι μαχομένας τὰς ἀντιπάλους.

[8]) Addidi γοῦν e Cod. D.

[9]) D. ἤτοι.

[10]) Cf. Schol. Il. Υ, v. 69: παρθένος ἡ Ἀθηνᾶ, ὁ δ' Ἄρης

μὲν γὰρ, ὥσπερ 1) ἔφην, μαινόμενός ἐστι, τυκτὸν κακὸν, ἀλλοπρόσαλλος 2). ἡ δ' ἐν πᾶσι θεοῖς 3) μήτι τε κλέεται καὶ κέρδεσιν a). Ἀδιάλλακτός γε 4) μὴν ἔχθρα τοῖς τὰ βέλτιστα διευκρινοῦσι λογισμοῖς πρὸς τὴν οὐδὲν ὁρῶσαν ἀφροσύνην. ὡς δὲ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, οὕτω τὰ τῆς μάχης διευκρίνησεν 5). οὐ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων. ἐνίκησε δ' Ἀθηνᾶ τὸν Ἄρην, καὶ κατὰ γῆς 6) ἐξέτεινεν· ἐπειδήπερ 7) ἅπασα κακία χαμαιπετὴς ἐν 8) τοῖς ταπεινοτάτοις ἔρριπται βαράθροις 9), πατούμενον νόσημα, καὶ πρὸς πᾶσαν ὕβριν ὑποκείμενον 10), ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην, τουτέστι τὴν ἀκολασίαν 11).

---

μοιχός· καὶ ὁ Τρωϊκὸς δὲ πόλεμος ἐκ μοιχείας τὴν ἀρχὴν εἴληφεν.

1) D. ὡς.

2) Codd. et Edd. ἀλλοπρόσαλλον.

3) Ita A., D. et Schol. — Schow. θεοῖσι.

4) Schol. ἀδιάλλακτος μήν.

5) A. διευκρινοῦσι. — Schol. διευκρ. τὰ τ. μ.

6) Schol. τῆς γῆς.

7) D. ἐπείπερ.

8) Schol. καὶ ἐν.

9) Schol. ταπεινοτέροις ἔρριπται βάθροις.

10) Apud Schowium maior erat post ὑποκείμενον interpunctio, cui minorem substitui.

11) Cf. omnino Hom. P. V. (p. 328 Gal.): ὅπως δ' ἀντίκεινται ἀλλήλοις τὰ τῆς ἐναντίας φύσεως τετυχηκότα, αἰνίττεσθαι ἔοικεν ὁ ποιητὴς καὶ ἐν τῇ παρατάξει τῶν θεῶν, ἐν ᾗ πεποίηκε τοὺς μὲν τοῖς Ἕλλησι, τοὺς δὲ τοῖς Τρωσὶ βοηθοῦν-

a) V. Od. N. v. 298.

Τὼ μὲν ἄρ᾽ [1]) ἄμφω κεῖντο [2]) ἐπὶ χθονὶ πουλυβοτείρῃ, συγγενῆ καὶ τοῖς πάθεσι γειτνιῶντα νοσήματα [3]).

## CAPUT LV.

Λητοῖ δ᾽ ἀνθέστηκεν [4]) Ἑρμῆς· ἐπειδήπερ [5]) ὁ μὲν οὐδὲν ἄλλο πλὴν λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν ἑρμηνεύς [6]). λόγῳ δὲ πάντα [7]) μάχεται Λητώ, οἱονεὶ Ληθώ τις οὖσα καθ᾽ ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονούμενον οὐκ ἔτι ἀγγελθῆναι δύναται. διὸ δὴ καὶ μητέρα Μουσῶν Μνημοσύνην ἱστοροῦσι, τὰς προστατίδας

---

τας, ἀλληγορικῶς ἐμφαίνων τὰς δυνάμεις ἑκάστου, καὶ τὸν μὲν Φοῖβον τῷ Ποσειδῶνι ἀντιτάσσει, τὸ θερμὸν καὶ ξηρὸν τῷ ὑγρῷ καὶ ψυχρῷ· τὴν δ᾽ Ἀθηνᾶν τῷ Ἄρει, τὸ λογιστικὸν τῷ ἀλογίστῳ, τουτέστι τὸ ἀγαθὸν τῷ κακῷ, τὴν δὲ κτέ.

1) Schol. γάρ.

2) Schol. κεῖτο.

3) Ita Schol. et D. — Schow. γειτνιῶντα τὰ ν.

4) Schol. ἀντέστη.

5) D. ἐπεί.

6) Schow. λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν. — Schol. ἀργός ἐστι τ. ἔ. ἐ. ἡ. π. — D. λόγος ἐστί, reliquis omissis. — A. cum Schowio congruit. — Excidisse in fine sententiae vocabulum ἑρμηνεύς recte vidit R. Hercherus in Schneidew. Phil. 1850. I. cf. Heracl. All. 28: καὶ τὴν ἀποστελλομένην Ἶριν, ἄγγελον τοῦ Διός, τὸν εἴροντα λόγον ὑφίσταται, ὥσπερ Ἑρμῆν τὸν ἑρμηνεύοντα; ibid. 59: τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος, et quos Hercherus allegat MS. apud Osann. ad Corn. p. 275 et Euseb. d. Laud. Const. c. 13.

7) Ita D. — Schow. παντί.

λόγου [1]) θεὰς ἀπὸ μνήμης [2]) γεγενῆσθαι λέγοντες· εἰκὸς [3]) οὖν τὴν λήθην πρὸς ἀντίπαλον ἅμιλλαν ἐξωρμηκέναι· δικαίως δ' ὑπεῖξεν αὐτῇ [4]) · λόγου γὰρ ἧττα λήθη, καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν [5]) κωφῇ νενίκηται [6]) σιωπῇ · τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα.

---

[1]) Ita A., D. et Schol. — Schow. τοῦ λόγου.

[2]) Schow. ὑπὸ μνήμην cum A. — D. et Schol. ὑπὸ μνήμης.

[3]) Schol. εἰκότως.

[4]) Schol. αὐτ͞.

[5]) Cf. Plat. Symp. p. 213. *E*: καὶ μή μοι μέμφηται, ὅτι σε μὲν ἀνέδησα, αὐτὸν δὲ, νικῶντα ἐν λόγοις πάντας ἀνθρώπους, οὐ μόνον πρῴην, ὥσπερ σύ, ἀλλ' ἀεὶ, ἔπειτα οὐκ ἀνέδησα.

[6]) Ante Schowium pro νενίκηται hoc loco editum erat νενίκηκε. Quam turpiter in verborum terminationibus tempora modosque et personas soliti fuerint permutare atque misceri librarii, in vulgus notum est. Quae eorum conniventia nescio an inscitia permultis scriptorum graecorum locis fuit perniciosa. Corruptorum hoc vitio locorum multi iam aut e melioribus Codd., aut epigonorum cura sunt restituti; at restat bona pars, qui medicum exspectant gnarum. Nonnullos data opportunitate e pluribus corrigam. Plat. Ion. p. 542. B. τοῦτο τοίνυν τὸ κάλλιον ὑπάρχει σοὶ παρ' ἡμῖν, ὦ Ἴων, θεῖον εἶναι καὶ μὴ τεχνικὸν περὶ Ὁμήρου ἐπαινέτην. leg. ὑπαρχέτω. — Stob. Append. e MS. Florent. (p. 4 Gaisf.): Μὴ μέντοι τοὺς νέους εἰς ἀθυμίαν, ὡς κατεγνωσμένους μηδὲν τῶν δεόντων πράττειν δύνασθαι, ἐμβαλέτω· πᾶν γὰρ τοὐναντίον προτρέπεσθαι αὐτοὺς ὀφείλει, πάντα τὰ προσήκοντα αὐτοῖς προθύμως ποιεῖν ἀσκεῖν, ὡς καὶ τιμὰς καὶ ἀρχὰς πρὸ γήρως ληψομένους· ἐκ γὰρ τούτου καὶ τοὺς πρακτικωτέρους βελτίους ποιήσεται; leg. ἐμβάλητε, ὀφείλετε et ποιήσετε.

## CAPUT LVI.

Ἤτοι μὲν γὰρ ἔναντα ¹) Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος ²).

ὕδατι πῦρ ἀντέθηκε, τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας, τὴν δ' ὑγρὰν φύσιν Ποσειδῶνα 3). τούτων δ' ἑκάτερον 4) ὡς ἐναντίαν ἔχει 5) φύσιν, τί δεῖ καὶ λέγειν; φθαρτικὸν γὰρ κατ' ἐπικράτειαν ἀεὶ θατέρου θάτερον 6). καὶ μὴν ἀπὸ 7) λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύει 8) ἀμφοῖν τὴν μάχην, ἐπειδήπερ 9) ἡλίου τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον οὐσίαν, καὶ μάλιστα τὴν ἁλμυράν· λεληθότως γὰρ ἀπὸ γῆς 10) τὸ δί-

---

1) D. ἔναντι.

2) Addit Schol. alteram versus Homerici partem (Il. Υ. v. 68): ἔχων ἰὰ πτερόεντα.

3) Cf. Eustath. ad Hom. Il. Υ. 67 (p. 1268, 20): καλῶς γὰρ ἂν αἰδοῖτο ὁ Ἀπόλλων [ἥλιος] τὸν Ποσειδῶνα, εἴ γε κατά τινας τῶν λήρων φυσικῶν τροφεῖα τῷ Ποσειδῶνι ὀφείλει, ὡς ἐκ τῆς κάτωθεν ἀναπεμπομένης ὑγρότητος καὶ αὐτὸς, καθὰ καὶ οἱ λοιποὶ τῶν ἀστέρων, τροφὴν ἕλκων (leg. ἀνέλκων) καὶ οὕτω συνιστάμενος.

4) D. ἑκάτερα.

5) Schol. ἔχον.

6) Ita D. et A. — Schol. φθαρτικὰ γὰρ κατ' ἐπικράτειαν θατέρου. — Schow. φθαρτικὸν ἀεὶ κατ' ἐπ. θατέρου θάτερον.

7) Codd. et Edd. ὑπό. At cf. v. c. Thucyd. VI. 19: Καὶ ὁ Νικίας γνοὺς, ὅτι ἀπὸ τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειεν κτέ.

8) Praestat fort. Schol. lectio: διαλύειν ἐστίν.

9) D. ἐπείπερ.

10) Schol. ἀπὸ τῆς γῆς.

υγρον ἀνασπῶν τῆς ἀτμίδος, τούτῳ μάλιστα τὴν πυρώδη ¹) φύσιν αὔξει. χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθεστάναι ²). διὰ τοῦθ' ὑπεῖξαν ἀλλήλοις.

## CAPUT LVII.

Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινή,
Ἄρτεμις ἰοχέαιρα.

Οὐδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν Ὅμηρος· ἀλλ', ὥσπερ ³) ἔφην, Ἥρα μέν ἐστιν ὁ ἀήρ ⁴)· τὴν δὲ Σελήνην Ἄρτεμιν ὀνομάζει· ⁵) πᾶν δὲ τὸ τεμνόμενον ἀεὶ πολέμιόν ἐστι τῷ τέμνοντι· καὶ διὰ τοῦτ' ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεστήσατο, τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων. εἰκὸς ⁶) δὲ ταχέως νενικῆσθαι τὴν σελήνην· ἐπειδήπερ ⁷) ὁ μὲν ἀὴρ πολὺς, καὶ πάντῃ κεχυμένος, ἡ δ' ἐλάττων ⁸) καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθημάτων ⁹) ἀμαυρουμένη, τοῦτο μὲν ἐκλείψεσι ¹⁰),

---

¹) D. πορφυρώδη.

²) Ita A. D. et Schol. — Schow. ἀνθιστάμενον.

³) D. ὡς.

⁴) Ita Schol. — Schow. ἀήρ.

⁵) Omnis Heracliti demonstratio ei superstructa est derivationi, secundum quam Artemis est quasi Ἀερότεμις, quemadmodum Ἀθηνᾶ est Ἀθρηνᾶ, vel Κύπρις Κυοπόρις. Vid. Schol. Il. Υ. 67. Ἥρα δ' ἐστὶν ἀήρ, Ἄρτεμις δὲ Σελήνη, ἀερότεμίς τις οὖσα, ἡ τὸν ἀέρα τέμνουσα, ἐξ οὗ ἤρτηται. Similia docet Eustathius p. 1268, 50.

⁶) Schol. εἰκότως.

⁷) D. ἐπεί.

⁸) D. ἐλάσσων.

⁹) Schol. παθῶν.

¹⁰) A. ἐκλήψεσι. Iuvat proponere hoc loco Valckenaerii emen-

τοῦτο δ' ἀχλύϊ, καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις· διὰ τοῦτο τῆς νίκης τὰ [1]) βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν.

## CAPUT LVIII.

Ἄντα δ' ἄρ' Ἡφαίστοιο μεγὰς ποταμὸς βαθυδίνης·

Ἐν τοῖς ὑπὲρ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν οὐράνιον ἡμῖν αἰθέρα καὶ τὴν ἀκήρατον ἡλίου φλόγα δηλώσας [2]), νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν [3]) πῦρ, καὶ τοῦτο ἀνθώπλισε ποταμῷ, τὴν διάφορον ἑκατέρου [4]) φύσιν εἰς μάχην παροξύνας [5]). πρότερον μὲν οὖν εἰκον-

---

dationem, cuius notitia ex eodem mihi manavit fonte, cuius supra mentionem feci. Quae, ut ab ipso Valckenaerio in lucem sit edita, quod nescio, nondum ut par erat in editiones est recepta. Editur apud Eurip. Orest. v. 1086:

μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθήρ, εἴ σ' ἐγὼ προδούς ποτε
ἐλευθερώσας τοὐμὸν ἀπολίποιμί σε.

Corrigit Valckenaerius, quod clamat sententia et suadet concinnitas, μὴ λεῖμμά μου.

[1]) Schol. καὶ τά.

[2]) Cff. Eustath. ad Il. p. 1269. 15 et qui non in omnibus cum Heraclito convenit, Schol. Hom. Il. Υ. 69: Ἀπόλλων μὲν γὰρ ἐναντιοῦται Ποσειδῶνι, τὸ μερικὸν πῦρ τῷ παντὶ ὑγρῷ, et paullo infra: Ἥφαιστος δὲ Ξάνθῳ, τὸ ὅλον πῦρ μέρει τοῦ ὕδατος.

[3]) Cf. Heracl. Alleg. c. 26: δηλοῖ δὲ σαφῶς, ὅτι τοῦτο θνητόν ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν.

[4]) D. ἑκατέρων. — Schol. ἑκατέρῳ.

[5]) Schol. παροτρύνας.

τα [1]) τὸν ἥλιον Ποσειδῶνι παρεισάγει [2]), νῦν δὲ τὴν ὑγρὰν οὐσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου. τίς οὖν οὕτω μέμηνεν, ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὁμήρου φυσικῆς [3]) ταῦτα δι' ἀλληγορίας θεολογήσαντος.

## CAPUT LIX.

Ἐπὶ τέλει οὖν τῆς Ἰλιάδος [4]) καὶ σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα Πριάμῳ δεδήλωκεν, ἀλληγορήσας [5]). οὐδὲν γὰρ ἔοικεν οὕτω πειθήνιον ἀνδράσιν ὀργιζομένοις, οὐκ ἄργυρος, οὐ χρυσός, οὐ [6]) δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τοῦ λόγου πειθώ. Πάνυ γοῦν ἀληθῶς Εὐριπίδης [7])·

---

[1]) A. μὲν εἴκοντα.

[2]) Schol. παρεισάγει Ποσειδῶνι.

[3]) Textum dedi, quemadmodum est apud Schowium, eo tantum discrimine, quod φυσικῶς mutavi, nec temere ut videtur, in φυσικῆς. Nec tamen me fugit, Heraclitum, siquidem sapiebat, ita scribere non potuisse. Cui hoc fortasse est restituendum: οὔκουν οὕτω μέμηνεν, ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὅμηρος, φυσικῆς ταῦτ' αὐτοῦ δι' ἀλληγορίας θεολογήσαντος.

[4]) Vid. Schol. Il. Ω. v. 486.

[5]) Mutilum ac lacerum capitis initium sic fortasse est resarciendum: ἐπὶ τέλει οὖν τῆς Ἰλιάδος (omittit haec vocabula Schol.) σφόδρα ἐναργῶς Ἑρμῆν ἀκολουθοῦντα Πριάμῳ δεδήλωκε τὸν λόγον εἶναι, ἀλληγορήσας. Quod καί omisi ante σφόδρα, in eo secutus sum Cod. A. et Schol. auctoritatem. Addit post δεδήλωκε Schol. ὁ ποιητής.

[6]) Ita D. et Schol. — Schow. οὐδὲ ἡ διὰ δώρων.

[7]) Schol. Εὐριπίδης φησίν.

*Οὐκ ἔστι Πειθοῦς ἱρὸν ἄλλο, πλὴν λόγος.* [1]

*Τούτῳ τε Πρίαμος, ὥσπερ ὀχυρᾷ* [2] *παντευχίᾳ καθώπλισται· ᾧ καὶ μάλιστα τὴν Ἀχιλλέως ἐπέκλασεν* [3] *ὀργήν, οὐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους, δώδεκα δ' ἁπλοΐδας* [4] *χλαίνας, τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας* [5] *φωναὶ τοὺς ἄρσενας αὐτοῦ θυμοὺς ἐξεθήλυναν·*

*Μνῆσαι πατρὸς σοῖο* [6] *θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,*
*Τηλίκου ὥσπερ* [7] *ἐγών, ὀλοῷ ἐπὶ γήραος οὐδῷ* [a].

*δι' ὀλίγου προοιμίου τῶν λόγων συνήρπασεν* [8] *Ἀχιλλέα, καὶ σχεδὸν ἀντὶ Πριάμου γέγονε Πηλεύς. διὰ τοῦτο ἠλέ-*

---

[1]) Versus est Euripidis ex Antigone (Dind. p. 81), quo utitur Aristophanes (Ran. 1391) ad perstringendum irridendumque poëtam. Cf. Schol. Aristoph. Ran. 1386 et Tzetz. ad Hes. Opp. 135, qui et alterum versum allegat:

*καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει.*

[2]) D. *ἐχυρᾷ*

[3]) Ita A., D. et Schol. — Schow. *ἐπήλασεν*, cui explicando irritam operam navavit Heynius. — Villoison. *ἐπέκλα*. At est in Cod. Ven. B. *ἐπέκλ.* (superscript α)

[4]) Ita D. et Schol. — A. *δ. πλοΐδας*. — Schow. *διπλοΐδας*, quod vulgatae apud Homerum (Il. Ω. 230) lectioni praeferendum esse iudicat Galius ad h. l., nec tamen accurate exposuit, cur ita sentiat.

[5]) Fort. leg. *τοῦ ἱκεσίου*. Addit Schol. *αὐτοῦ* post *ἱκεσίας*.

[6]) D. et Schol. *σεῖο*.

[7]) Ita Schol. — Schow. *οἷος*.

[8]) Schol. *συναρπάσαντος* et in iis, quae statim subsequuntur, *γεγονότος Πηλέως*.

*a*) V. Il. Ω. 486.

ηται μὲν ἄχρι τραπέζης· λουτροῖς δὲ κοσμηθὲν [1]) ἀποδίδοται τὸ Ἕκτορος σῶμα· τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος, ὃν συναπέστειλεν [2]) Ὅμηρος αὐτῷ [3]), τῆς ἱκετείας [4]) παράκλητον.

## CAPUT LX.

Ἆρ' οὐκ ἀπόχρη δι' ὅλης τῆς Ἰλιάδος συνᾴδουσα [5]) ἡ Ὁμήρου φιλοσοφία, ἐν ᾗ τὰ περὶ θεῶν ἠλληγόρησε; ζητῶμεν [6]) δὲ τούτων τι [7]) περιττότερον, καὶ μετὰ τοσαύτας ἀποδείξεις ἐνδεῖν ἔτι τὰ κατὰ τὴν Ὀδύσσειαν ἡγώμεθα;

[8]) Πλὴν ὅμως, ἀκόρεστον γὰρ ἅπαν τὸ καλὸν [9]), ἀπὸ τῆς ἐναγωνίου καὶ πολεμικῆς Ἰλιάδος ἐπὶ τὴν ἠθικὴν μεταβῶμεν Ὀδύσσειαν. οὐδὲ γὰρ αὕτη τελείως [10]) ἀφιλοσόφητος· ἀλλ' ἐν ἑκατέροις τοῖς σωματίοις ὅμοιον εὑρίσκομεν Ὅμηρον [11]), μηδὲν περὶ θεῶν ἀπρεπὲς ἱστοροῦντα [δίχα δὲ τῆς τοιαύτης ἐμπειρίας [12]) αἰνιττόμενον].

---

[1]) Schol. βοσκηθέν.

[2]) Codd. et Edd. ἀπέστειλεν.

[3]) Schol. αὐτοῦ.

[4]) Ita A., D. et Schol. — Schow. ἱκεσίας.

[5]) Schol. συνᾴδεται.

[6]) Codd. et Edd. ζητοῦμεν.

[7]) A. et D. τί.

[8]) Cf. Schol. Odyss. A. Ὑπόθ.

[9]) Inserui γάρ e Cod. D., atque vitiosam mutavi interpunctionem. Ita enim Schowius: Πλὴν ὅμως ἀκόρεστον ἅπαν τὸ καλόν· ἀπὸ κτέ.

[10]) Ita A., D. et Schol. — Schow. τελέως.

[11]) D. Ὅμηρον εὑρίσκομεν ὅμοιον.

[12]) Quae uncis a me inclusa sunt vocabula, eiusdem videntur

## CAPUT LXI.

Αὐτίκα τοίνυν ἐν ἀρχῇ τὴν 1) Ἀθηνᾶν ὑπὸ Διὸς ἀποστελλομένην πρὸς Τηλέμαχον 2) εὑρίσκομεν εὐλόγως. ἐπειδὴ 3) ἐκ τῆς ἄγαν νεότητος ἤδη τὴν εἰκοσαετῆ 4) ἡλικίαν ὑπερκύπτων, μετέβαινεν εἰς τὸν ἄνδρα 5). καί τις αὐτὸν ὑπέδραμε τῶν γιγνομένων 6) λογισμὸς, ὡς οὐκ ἔτι 7) χρὴ διακαρτερεῖν 8) ἐπὶ τῇ τετραετεῖ 9) τῶν μνηστήρων ἀσωτίᾳ 10)· τοῦτον οὖν τὸν ἀθροιζόμενον ἐν Τηλε-

esse farinae, cuius iam plura per textum Heracliteum demonstravi. Sunt interpolatoris, nec inveniuntur in optimo Cod. D., neque apud Scholiastam, qui a vocabulis τελείως ἀφιλοσόφητος raptim transit ad ea, quae sunt inde a capite 61. Emendandis corruptis interpolatoris verbis operam dederunt Gesnerus et Schowius, ille ἀπρεπείας, hic ἀπειρίας pro ἐμπειρίας legendum esse coniiciendo. Is. Toussaint., in observv. critt. ad Palaephat. p. 9, quid sibi voluerit dicendo: *Ubi si δίχα τε legeris, Gesneri coniectura facile carebis*, non intelligo. Praestat haud dubie Schowii coniectura Gesnerianae.

1) Schol. τὴν Διός Ἀθηνᾶν.

2) Schol. ἀποστ. εὑρίσκ.

3) D. ἐπεί.

4) Schol. εἰκοσιετῆ.

5) Ante Schowium ἐπὶ τὸν ἄνδρα edebatur. Vera lectio est in utroque codice Vaticano; quam absque codicibus Valckenaerius in margine editionis Galeanae adscripserat.

6) Schol. γινομένων.

7) Schol. οὐκέτι.

8) Gesneri emendationem διακαρτερεῖν pro διαμαρτυρεῖν restituentis Cod. D. pulcre confirmat.

9) Cod. D. ἐπὶ τῇ τετραετῆ. — Schol. ἐπὶ τετραετῆ.

10) Schol. ἀσωτίαν.

μάχῳ λογισμὸν [1]) Ἀθηνᾶς ἐπιφάνειαν ἠλληγόρησεν. ὁμοιωθεῖσα γὰρ [2]) γέροντι ἥκει· παλαιὸς γοῦν [3]) ὁμολογεῖται ξένος Ὀδυσσέως ὁ Μέντης εἶναι. πολιὰ δὲ καὶ γῆρας, ἱεροὶ τῶν τελευταίων χρόνων λιμένες, ἀσφαλὲς ἀνθρώποις ὅρμισμα, καὶ ὅσον ἡ τοῦ σώματος ἰσχὺς ὑποφθίνει, τοσοῦτον ἡ τῆς διανοίας αὔξεται ῥῶσις.

## CAPUT LXII.

Ἴδιος τοίνυν παρεισελθὼν ὁ νοῦς ἐξεπαίδευσε τὸν Τηλέμαχον, οὐ θεὰ παρακαθημένη, καὶ ταῦθ' ἃ λέγει παραινοῦσα διαπεττεύοντος [4])· ἄγε δή, φησίν, ὦ Τηλέμαχε, μειρακίου γὰρ ἤδη τὶ φρονεῖς πλέον·

---

[1]) D. νοῦν.

[2]) D. γοῦν.

[3]) D. γάρ.

[4]) Iusto fortasse est audacius, quod meam corrupti loci recensionem in textum recepi. Sed quo contortius atque infelicius unumquodque est atque debet esse loci, quomodo vulgo edebatur, explicandi conamen, eo confidentius meam coniecturam proposui, qua scriptori sententiam suam propriam esse restitutam, mihi est persuasum. Schowius, qui id bene vidit, quod disiecta atque separata in iis qui adhibiti erant codicibus (vera lectio est in utroque codice Vaticano) διὰ πεττεύοντος vocabula in unum coniunxit, sententiam ita arbitrabatur esse disponendam: τίνα τοίνυν παρεισελθὼν ὁ νοῦς ἐξεπαίδευσε τὸν Τηλέμαχον; οὐ θεᾶς παρακαθημένης, καὶ ταῦτα, ἃ λέγει, παραινούσης, διαπεττεύοντος αὐτοῦ· ἀλλ' ἄγε δή, φησιν, ὦ Τηλέμαχε κτέ. In quibus, quod in Codd. est διὰ πεττεύοντος· ἄγε δή in διαπεττεύοντος αὐτοῦ· ἀλλ' ἄγε δή mutavit, de reliquis securus; quae vere unamquamque respuunt sanam interpretationem

νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν, ἥ τις ἀρίστη,
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο· a)

πρῶτος εὐσεβὴς καὶ δίκαιος ἐκ βαθείας τῆς διὰ τὴν ἡλικίαν ἀφροσύνης 1) ὑπεισῆλθε λογισμὸς, ὡς οὐκ ἄξιον ἔτι 2) ἀργοὺς ἐν Ἰθάκῃ κατατρίβειν χρόνους, ἀμνηστίαν ἔχοντα τοῦ γεγεννηκότος 3)· ἀλλ' ἀναγκαῖον ἤδη ποτὲ τὸν 4) φιλοπάτορα, ναῦν 5) εὐτρεπισάμενον, ἐπὶ τὰς διαποντίους ἐκδραμεῖν 6) Κληδόνας, ἵνα τὴν Ὀδυσσέως απόδημον ἄγνοιαν 7) ἀνιχνεύσῃ. δεύτερον δ' ἐπὶ τούτοις διεσκέψατο, ὅπου μάλιστα δεῖ τὴν πατρῴαν ἐρευνῆσαι τύχην· ὑπηγόρευσε δ' ἡ φρόνησις, ἐγγὺς αὐτοῦ καθεζομένη·

Πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον,
Κεῖθεν δὲ Σπάρτηνδε 8) παρὰ ξανθὸν Μενέλαον. b)

ὁ μὲν γὰρ εἶχε τὴν ἀπὸ γήρως ἐμπειρίαν· ὁ δ' ἀπὸ τῆς ὀκταετοῦς πλάνης ἐπανεληλύθει 9) νεωστί· δεύτατος γὰρ ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων 10). ἔμελλεν οὖν ὠφέλιμος

---

1) Ita A. et D. — Schow. ἐκ βαθείας ἀφροσύνης.

2) Codd. et Edd. ἐστίν.

3) Ita A. et D. — Idem Heynius restituerat. — Schow. γεγενηκότος.

4) D. ἤδη τόν. — Fort. ἤδη ποτὲ τὸν υἱόν.

5) D. νοῦν.

6) Ita cum Schowii MS. Angl. A. et D.

7) Heynius: ἀποδήμου ἄγνοιαν. — Fort. legendum est: ἀποδημίαν ἄγνωστον.

8) D. δ' ἐς Σπάρτην τε.

9) ἐπανελήλυθε. D.

10) Ita A. et D. — Schowius perperam versum Homericum restituit, Odyss. A. v. 286.

a) V. Hom. Od. A. v. 280.

b) Od. A. v. 284.

αὐτῷ παραινῶν γενήσεσθαι Νέστωρ, τἀληθῆ δὲ περὶ τῆς Ὀδυσσέως πλάνης ἐρεῖν Μενέλαος.

## CAPUT LXIII.

Ἅμα δὲ ταῦτ' ἐννοούμενος, ὡσπερεὶ παρακροτῶν 1) ἑαυτὸν εἶπεν·

οὐδέ τί σε χρὴ
Νηπιάας ὀχέειν 2), ἐπεὶ οὐκέτι τηλίκος ἐσσί. 3) a)

εἶτα καθ' ὁμοίωσιν τῆς Ὀρέστου ἡλικιώτιδος ἀρετῆς εἰς τὴν ἴσην φρόνησιν ὥσπερ παιδαγωγὸς καὶ πατὴρ ὁ λογισμὸς αὐτὸν παρακέκληκεν 4)·

ἦ οὐκ ἀΐεις, οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα; b)

τοιούτοις ἐπαρθεὶς λογισμοῖς, εὐλόγως μετέωρον αὐτοῦ τὴν διάνοιαν 5) ἐλαφρίζει. διὸ καὶ 6) προσείκασεν αὐτὴν 7) Ὅμηρος ὄρνιθι, λέγων·

---

1) D. περικροτῶν. 2) D. ὀχεόν.

3) D. ἐστί.

4) Textum disposui eam secutus normam, quam Cod. D. lectiones indicabant. Quae interpolata postea atque disiecta apud Schowium hunc in modum erant edita: ὡσπερεὶ παιδαγωγὸς καὶ πατὴρ ὁ λογισμὸς αὐτοῦ τὸ μεθεκτικὸν (A. μεθετικὸν) τῶν φροντίδων ἀνήγειρεν· εἶτα καθ' ὁμοίωσιν ἡλικιώτιδος ἀρετῆς εἰς τὴν ἴσην φρόνησιν αὐτὸν παρακέκληκεν. Quae bene ne intelligi quidem possunt.

5) D. μετε... αὐτοῦ τὴν διάνοιαν.

6) In Cod. D. διό, in Cod. H. διὸ καὶ est omissum.

7) Fort. leg. Ἀθήνην.

a) Odyss. A. v. 296. b) Od. A. v. 298.

Ὄρνις δ᾽ ὡς ἀνοπαῖα διέπτατο. [a])

μεταρσία γὰρ ἡ φρόνησις, ὡς ἂν οἶμαι τηλικοῦτον ὄγκον ἐν αὐτῇ πραγμάτων κυοφοροῦσα [1]) διανέστηκεν. ἀμέλει ταχέως ἐκκλησία συναθροίζεται, καὶ πατρῴοις λόγοις ἐνρητορεύει. τὸν δ᾽ ἀπόπλουν εὐτρεπίζει [2]) ὁ τῆς ἀλληγορίας ἐπώνυμος, Φρονίου μὲν υἱὸς, Νοήμων δὲ τοὔνομα· δι᾽ ὧν ἀμφοτέρων οὐδὲν ἄλλο, πλὴν τοὺς ὑπογυίους αὐτοῦ λογισμοὺς ὑπεσήμαινεν. ἐμβαίνοντι δ᾽ αὐτῷ τῆς νεὼς πάλιν συνεμβέβηκεν Ἀθηνᾶ, Μέντορι τὴν μορφὴν εἰκασμένη, ἀνδρὶ πρὸς φροντίδας τὴν διάνοιαν ἔχοντι, φρονήσεως μητέρα. [3]). δι᾽ ὧν ἁπάντων ἡ κατ᾽ ὀλίγον ἐν τῷ Τηλεμάχῳ τρεφομένη σύνεσις ἐν τοῖς ἔπεσιν ἱστόρηται.

---

[1]) Ante Gesnerum κυοφθοροῦσα edebatur. Veram lectionem servarunt uterque Codex Vaticanus. Pro διανέστηκεν fort. leg. est ἐξανέστηκεν.

[2]) Schow. et Codd. εὐτρέπιζεν.

[3]) Graviorem, si quid video, hic locus labem contraxit. Codices nullum paene ferunt auxilium. Omittit Cod. D. vocabulum μορφὴν, pro εἰκασμένη exhibet εἰδομένη atque inserit τὴν τῆς inter φρονήσεως et μητέρα. Πάλιν, quod in Codd. post εἰκασμένη sequebatur, Heynius recte ut videtur inde migrare iussit atque inseruit ante συνεμβέβηκεν. Sed contorta sunt, ne graviore verbo utar, atque inepta omnia vocabula ἀνδρὶ — μητέρα explicandi conamina. Ut dicam, quod sentio, Heraclitus, siquidem sibi ipsi volebat constare, debuit etymologicam addere vocabuli »Mentes'' illustrationem, qua nominis a se propositam allegoricam interpretationem confirmaret. Quod ita potuit fieri: ἀνδρὶ πρὸς φροντίδας τὴν διάνοιαν ἔχοντι. φροντίδες γὰρ αἱ μένθηρες. Cff. Hesych. et Suid. i. v. Μένθηρες.

a) Odyss. A. v. 320.

## CAPUT LXIV.

Καὶ μὴν ὁ περὶ Πρωτέως λόγος, οὕτω πολὺς ἐκταθεὶς ὑπὸ Μενελάου, τὴν ἐξαπατῶσαν εὐθὺς ἔχει φαντασίαν, πάνυ μυθώδης ὢν [1]). γεγονέναι τῆς ἐν Αἰγύπτῳ νησίδος [2]) ἄθλιον ἔποικον, εἰς ἀθανάτου μέτρα τιμωρίας παρελκόμενον, ᾧ βίος ἠπείρου καὶ θαλάσσης κοινὸς, ἀτυχεῖς ὕπνους μετὰ φωκῶν κοιμωμένῳ [3]), ἵν' αὐτοῦ κολάζηται καὶ τὸ τερπνόν· θυγάτηρ δ' Εἰδοθέα [4]), διὰ πατρὸς ἀδικίας ξένον εὖ ποιοῦσα καὶ γενομένη [5]) προδότις αὐτοῦ· δεσμοὶ μετὰ τοῦτο, καὶ Μενέλαος ἐνεδρεύων· εἶθ' ἡ πολυπρόσωπος εἰς ἅπαντα, ἃ βούλεται, Πρωτέως μεταμόρφωσις, ποιητικοὶ καὶ τεράστιοι μῦθοι δοκοῦσιν, εἰ μή τις οὐρανίῳ ψυχῇ τοὺς ὀλυμπίους Ὁμήρου μύθους ἱεροφαντήσειε [6]).

## CAPUT LXV.

Τὴν γοῦν προμήτορα τῶν ὅλων ὑφίσταται γένεσιν, ἀφ' ἧς τὸ πᾶν ῥιζωθὲν, εἰς ὃ νῦν βλέπομεν, ἥκει κα-

1) Ita Heynius, qui ὢν primus addidit.

2) Ita cum Gal. MS. Angl. Codd. A. et D.

3) Ita D. — Schow. κοιμώμενος.

4) D. θυγάτηρ Εἰδοθέα.

5) A. γινομένη.

6) D. ἱεροφαντάσειε. Iuvat conferre ad hoc caput Eustath. ad Odyss. p. 177. 40, et Scholion ad Odyss. Δ. 384, quod e Cod. Marc. 613 descripsit Cobetius: ἠλληγόρηται παρὰ τῷ Ἡρακλήτῳ περὶ τὸν Πρωτέα οὕτως. Tamen maximam partem Scholiasta diversa tradidit ab iis, quae sunt apud Heraclitum. Quod unum huc potest videri pertinere, est quod hisce verbis continetur: τινὲς δὲ καὶ ἀλληγορικῶς Πρωτέα τὴν ὕλην κτέ.

τάστημα· παλαιοὶ γὰρ ἦσάν ποτε χρόνοι, καθ' οὓς ἀτύπωτον ἢ ὑπόλιμνον ἦν, οὐδέπω κεκριμένοις χαρακτῆρσιν εἰς τέλειον ἥκουσα μορφῆς 1)· οὔτε γὰρ γῆ 2), τῇ τῶν ὅλων ἑστίᾳ, κέντρον ἐπεπήγει βέβαιον, οὔτ' οὐρανὸς περὶ τὴν αἴδιον φορὰν 3) ἱδρυμένος ἐκυκλεῖτο. πάντα δ' ἦν ἀνήλιος ἠρεμία καὶ κατηφὴς 4) σιγὴ, καὶ πλέον οὐδὲν ἢ κεχυμένης ὕλης 5)· ἄμορφος γὰρ ἀργία, πρὶν ἢ δημιουργὸς ἁπάντων καὶ κοσμοτόκος ἀρχὴ σωτήριον ἑλκύσασα τῷ βίῳ τὸν τύπον, τὸν κόσμον ἀπέδωκε τῷ κόσμῳ 6), διεζεύγνυ τὸν μὲν οὐρανὸν τῆς γῆς, ἐχώριζε δὲ τὴν ἤπειρον τῆς θαλάττης 7), τέτταρα δὲ στοιχεῖα, τῶν ὅλων ῥίζα καὶ γέννα, ἐν τάξει τὴν ἰδίαν μορφὴν ἐκομίζετο· [τούτων δὲ προμηθέως κιρναμένων, ὁ θεὸς (πάντα διευκρίνησεν), μηδεμιᾶς οὔσης διακρίσεως περὶ τὴν ἄμορφον ὕλην] 8).

---

1) Ita Codd. — Heyn. εἰς τέλειον ἡκούσης μορφῆς. — Fort. leg. est εἰς τέλειον ἧκον μορφήν.

2) Ita Heyn. — Codd. οὔτε γὰρ γῆ τῇ.

3) Veram lectionem dedit Cod. D. — Schow. περὶ τὴν αὐτὴν, τὴν αἴδιον.

4) Codd. et Schow. κατηφοῦσα.

5) Ita D. — Schow. ἦν ἢ. — Gesnerus loci indolem, ut apparet e versione Latina, atque sententiam scriptoris non perspexit. Mutavi interpunctionem, aut dedi potius interpunctionem, quae apud Schowium erat nulla. Quod γάρ inserui post ἄμορφος, in eo nitor auctoritate Cod. A.

6) Cf. Eustath. ad Il. p. 977. 9 ἐπεὶ δὲ κόσμος ἐγένετο ὁ κόσμος, καὶ διεκρίθη τὰ πάντα.

7) Bis articulum inserui, ante γῆς et ante θαλάσσης, Codicum in utroque loco auctoritatem secutus, quam sprevi, quum in vocabulis διεζεύγνυ τὸν μὲν οὐρανὸν γῆς et A. et D. darent, quod ferri nequit, διεζεύγνυτο μὲν οὐρανὸς γῆς.

8) Lacunam in hoc loco agnovit Schowins, quam ad explendam

## CAPUT LXVI.

Πρωτέως δὲ θυγάτηρ Εἰδοθέα [1]), δικαίως εἴδους ἑκάστου γενομένη [2]) θέα [3]). διὰ τοῦτο, μία τὸ πρὶν ὢν φύσις, Πρωτεὺς εἰς πολλὰς ἐμερίζετο μορφὰς, ὑπὸ τῆς προνοίας διαπλαττόμενος·

Ἤτοι μὲν [4]) πρώτιστα λέων γένετ' ἠυγένειος,
Αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
Γίγνετο δ' ὑγρὸν ὕδωρ καὶ δενδρέον ὑψιπέτηλον [a]).

διὰ μὲν οὖν τοῦ λέοντος, ἐμπύρου ζῴου, τὸν αἰθέρα δηλοῖ. δράκων δ' ἐστὶν ἡ γῆ· τὸ γὰρ αὐτόχθον αὐτοῦ καὶ γηγενὲς οὐδὲν ἄλλο πλὴν τοῦτο σημαίνει. δένδρον γε μὴν ἅπαν αὐξανόμενον, καὶ τὴν ἀπὸ [5]) γῆς ὁρμὴν μεταρσίαν λαμβάνον [6]), συμβολικῶς εἶπεν ἀέρα. τὸ

---

quum insereret vocabula πάντα διευκρίνησεν, a scriptoris, quicumque haec vocabula scripserit, sententia haud ita multum potuit aberrare. Sed quae uncis inclusi, in Codd. D. et A. non exstant. Quae postea addita esse censeas. Facile enim est demonstratu, Heraclitum hoc modo iis, quae de πρώτης οὐσίας in varias formas mutatione erant dicenda, finem facere non potuisse.

1) Cf. Schol. Od. Δ. 456. 2) D. γινομένη.

3) Vertit Gesnerus: »Ab Homero Protei filia Eidothea nominatur, idque bono iure, ut quae εἴδους ἑκάστου θέαν, hoc est ideae cuiusvis inspectionem exhibuerit.” Quae credat qui poterit. Mihi Heraclitus, accentu mutato, videtur scripsisse: εἴδους ἑκάστου γενομένη θεά.

4) Homeri editiones: Ἀλλ' ἤτοι.

5) Ita Heyn., A. et D. — Schow. ὑπό.

6) A. et D. λαβών.

a) Od. Δ. v. 456.

μὲν [1]) γὰρ ὕδωρ εἰς ἀσφαλεστέραν ὧν προηνίξατο δήλωσιν ἐκ τοῦ φανερωτέρου παρέστησεν εἰπών· Γίνετο δ' ὑγρὸν ὕδωρ· ὥστε εὔλογον, τὴν μὲν ἄμορφον ὕλην Πρωτέα καλεῖσθαι, τὴν δ' εἰδωλοπλαστήσασαν ἕκαστα πρόνοιαν Εἰδοθέαν. ἐξ ἀμφοῖν δὲ πᾶν διακριθὲν εἰς τὰ συνεχῆ καὶ προστατικὰ [2]) τῶν ὅλων σχισθῆναι. πιθανῶς δὲ καὶ τὴν νῆσον, ἐν ᾗ ταῦτα διέπλασε, Φάρον ὠνόμασεν· ἐπειδήπερ ἐστὶ τὸ φαρῶσαι γεννῆσαι [3]). καὶ τὴν γῆν ἀφάρωτον ὁ Καλλίμαχος εἶπε τὴν ἄγονον·

ἀφάρωτος οἷον . . . . . γύη. [4]).

φυσικῶς οὖν ἁπάντων πατέρα χῶρον ὠνόμασε Φάρον, ἐκ τῆς γονίμου προσηγορίας, ὃ μάλιστα ἐβούλετο, σημήνας.

## CAPUT LXVII.

Τίσι γε μὴν ἐπιθέτοις καὶ τὸν Πρωτέα κεκόσμηκεν, ἤδη σκοπῶμεν·

---

[1]) D. τὸ γάρ.

[2]) Ita Schow., cuius v. annotationem. — Codd. προσταχτικά. — Gesnerus συστατικὰ aut συνεκτικά.

[3]) D. φέρσαι. — Schow. τὸ γεννῆσαι.

[4]) Codd. et Schow. γυνή. — Toupius, qui ad Hesych. p. 499 coniecerat legendum esse γῆ, verum vidit ad Suid. III. p. 210: »Heracl. d. alleg. Hom. καὶ τὴν γῆν . . . γυνή. Ubi tres postremae voces ex Iambis Callimachi petitae sunt. Etymol. MS. Bibl. Par. Ἀφάρωτος ἡ ἀναροτρίαστος γῆ· φάρος γὰρ ἡ ἄροσις. — ἐν ὑπομνήσει (leg. ἐν ὑπομνήματι) ἰάμβων Καλλίμαχος (leg. Καλλιμάχου). Sed mendum subest, quod nemo vidit. Scribendum

ἀφάρωτος οἷον . . . . γύη.

Habes iam caput et caudam senarii.” V. Hesych. i. v. φαροῦν et φαρῶσαι, Schow. ad h. l. et Hemsterhus. ad Hesych. i. v. ἀφάρωτος.

*Πωλεῖταί τις δεῦρο γέρων ἅλιος, νημερτὴς* [a]).

Τὸ μὲν γέρων [1]), οἶμαι, τὸ τῆς ἀρχεγόνου καὶ πρώτης οὐσίας σημαίνει γεραίτερον, ὥστε ἀποσεμνῦναι τῇ πολιᾷ [2]) τοῦ χρόνου τὴν ἄμορφον ὕλην. ἅλιον δ' ὠνόμασεν, οὐ μὰ Δί', οὐ θαλάττιόν τινα δαίμονα, καὶ κατὰ κυμάτων ζῶντα [3]), τὸ δ' ἐκ πολλῶν καὶ παντοδαπῶν συνηλισμένον, ὅπερ ἐστὶ συνηθροισμένον. νημερτὴς δ' εὐλόγως εἴρηται· τί γὰρ ταύτης τῆς οὐσίας ἀληθουργέστερον, ἐξ ἧς ἅπαντα γεγενῆσθαι νομιστέον. Καὶ μὴν καὶ ἡ Καλυψὼ τὴν πειθὼ τῶν ποικίλων παρ' Ὀδυσσέως λόγων Ἑρμῆν προσηγόρευσε, μόγις μὲν, ἀλλ' ὅμως [4]) καταθέλξαντος αὐτοῦ τὸν ἔρωτα τῆς νύμφης, ἵνα εἰς Ἰθάκην προπεμφθείη. διὰ τοῦτ' ὄρνιθι προσωμοιωμένος Ἑρμῆς ἐλήλυθεν ἀπ' Ὀλύμπου [5])· πτερόεντα γὰρ

---

1) Codd. et Schow. *γάρ*. — Articulum *τὸ* inserui ante *τῆς*. — *σημαίνει* addidi e Cod. D.

2) Ita D. — Schow. *πολιτείᾳ*, quod antequam praestantissimam Cod. D. lectionem noveram, in *πολυετίᾳ* mutandum esse conieceram. Est operae pretium videre, quemnam e misere corrupto vocabulo sensum extorserit Gesnerus in versione Latina. Natus est error inde, quod rarioris usus vocabulo substituerunt librarii, quod erat tritissimum iisque notum. Similis error suavissimum Luciani locum hodieque premit atque contaminat. Est in Ver. Hist. II. 20: *Εἶναι μέντοι γε ἔλεγε Βαβυλώνιος, καὶ παρά γε τοῖς πλείστοις οὐχ Ὅμηρος, ἀλλὰ Τιγράνης καλεῖσθαι.* Ubi pro *πλείστοις* quantocius restituendum est *πολίταις*.

3) Mutavi interpunctionem, minore posito pro maiore, quod est apud Schow., interpunctionis signo.

4) D. *ἀλλ' οὖν ὅμως*.

5) Ita A. et D. — Schow. *Οὐλύμπου*.

a) V. Od. *Δ*. v. 384.

τὰ ἔπη κατὰ τὸν Ὅμηρον, καὶ τάχιον οὐδὲν ἐν ἀνθρώποις λόγου [1]).

## CAPUT LXVIII.

Δεῖ δ' ἡμᾶς οὐδὲ τὰ μικρὰ παροδεύειν, ἀλλὰ καὶ δι' ἐκείνων τὴν λεπτὴν ἐξετάζειν Ὁμήρου φροντίδα· τὸν γὰρ Ἡμέρας καὶ Ὠρίωνος ἔρωτα, ὃ πάθος οὐδ' ἀνθρώποις εὔσχημον, ἠλληγόρησεν·

Ὡς μὲν, ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠώς [a]).

[2]) Παρεισάγει γὰρ [3]) αὐτὸν ἔτι νεανίαν, ἐν ἀκμῇ τοῦ σώματος, ὑπὸ τοῦ χρεὼν πρὸ μοίρας ἀνηρπασμένον [4]). ἦν δὲ παλαιὸν ἔθος, τὰ σώματα τῶν καμόντων [5]), ἐπειδὰν ἀναπαύσηται τοῦ βίου, μήτε νύκτωρ ἐκκομίζειν, μήθ' ὅταν ὑπὲρ γῆς [6]) τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος, ἀλλὰ πρὸς βαθὺν ὄρθρον, ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος. ἐπειδὰν [7]) οὖν εὐγενὴς νεανίας ἅμα καὶ κάλλει [8]) προέχων τελευτήσῃ [9]), τὴν ὄρθριον [10]) ἐκκομιδὴν

---

[1]) Quae h. l. de Herme traduntur, haud idoneo nec suo loco videntur esse collocata. Quae ante allegoricam de Proteo expositionem collocata, apte omnia ista exciperent, quae de Mentore, mentis et rationis ἐπωνύμῳ, erant disputata.

[2]) V. Schol. Hom. Od. *E*. 121.

[3]) Schol. νῦν.

[4]) Ita Schol. — Schow. συνηρπασμένον.

[5]) V. Is. Toussaint, observ. crit. p. 22. — Schow. καμνόντων.

[6]) D. ἐν γῇ. — Schol. ἐπὶ γῆς.

[7]) Schol. ἐπάν.

[8]) Schol. κάλλος.

[9]) D. τελευτήσει.

[10]) Schol. ὀλέθριον.

[a]) V. Od. *E*. v. 121·

ἐπευφήμουν [1]) Ἡμέρας ἁρπαγὴν, ὡς οὐκ ἀποθανόντος, ἀλλὰ δι᾽ ἐρωτικὴν ἐπιθυμίαν ἀνηρπασμένου. Καθ᾽ Ὅμηρον δὲ καὶ [2]) τοῦτο φασίν. Ἰασίων, ἀνὴρ γεωργίας ἐπιμελούμενος, καὶ δαψιλεῖς [3]) τοὺς ἀπὸ τῶν ἰδίων ἀγρῶν καρποὺς λαμβάνων, εἰκότως ὑπὸ τῆς Δήμητρος ἔδοξεν ἠγαπῆσθαι· δι᾽ ὧν Ὅμηρος οὐκ ἀσελγεῖς ἔρωτας ἱστορεῖ θεῶν, οὐδ᾽ ἀκολασίας. Σημαίνων δὲ τὰς εὐαγεστάτας, [Ἡμέραν τε καὶ Δημήτραν], τοῖς ἀκριβῶς ἐρευνᾶν ἐθέλουσι φυσικῆς θεωρίας εὐσεβῆ ἀφορμὴν χαρίζεται [4]).

---

[1]) Ita A. et D. — Schol. ἐπ᾽ εὐφήμου.

[2]) *καί* inserui, Cod. D. secutus. Heynius post Ἰασίων excidisse putavit *δέ* particulam. Qua non opus esse videtur.

[3]) Ita D. — Schow. *δαψιλῶς*.

[4]) *Schow.* σημαίνει δὲ τὰς εὐαγεστάτας, Ἡμέραν καὶ Δημήτραν· τοῖς εὐσεβῶς ἐρευνᾶν ἐθέλουσι φυσικῆς θεωρίας ἀκριβῆ ἀφορμὴν χαρίζεται. — D. σημαίνει δὲ τὰς εὐαγεστάτας, τ. εὐσ. ἐρ. θέλουσι φυσικῶς ἀκριβοῦς θεωρίας ἀφορμὴν χαρίζεται. A., ut Schowius, nisi quod habet inverso vocabulorum ordine *ἀκριβῆ θεωρίας*. — Mutavi *σημαίνει* in *σημαίνων* atque in iis quae sequuntur restituere conatus sum turbatum vocabulorum ordinem. Quo facto aliquanto concinnior sententia videtur evasisse, nec tamen omnibus numeris est absoluta. — *Heynius*, simili via ingressus, *χαριζόμενος* putaverat esse legendum, vel *καί* inserendum ante *τοὺς εὐσεβῶς*. — Apud Cornutum, pag. 50 ed. Osann., de Musis haec leguntur: *Εὐτέρπη δ᾽ ἀπὸ τοῦ τὰς ὁμιλίας αὐτῶν ἐπιτερπεῖς καὶ εὐαγωγοὺς εἶναι.* Restituendum est, quod iam Villoisonus commendaverat, *ἐπαγωγούς*. Nec cum Osanno prae *ἐπιτερπεῖς* spreverim vulgatum *εὐτερπεῖς*, quippe quod sit vox mere poëtica. Cornutis enim et Heraclitis quid sit poëticum, quid conveniat prosae orationis scriptori, non amplius dignoscitur; quin immo sublegunt poëtis vocabula obsoletiora

## CAPUT LXIX

Νῦν τοίνυν ἅπαντα 1) τἆλλα ἀφέντες, ἐπὶ τὴν διηνεκῆ καὶ χαλεπῶς θρυλουμένην ὑπὸ τῶν συκοφαντῶν κατηγορίαν τραπώμεθα 2). ἄνω γοῦν 3) καὶ κάτω τραγῳδοῦσι, τὰ περὶ Ἄρεος καὶ Ἀφροδίτης ἀσεβῶς διαπεπλάσθαι λέγοντες. ἀκολασίαν γὰρ ἐμπεπολίτευκεν ἐν οὐρανῷ 4), καὶ τὸ παρ' ἀνθρώποις, ὅταν γένηται, θανάτου τιμώμενον 5) οὐκ ἐδυσωπήθη παρὰ θεοῖς ἱστορῆσαι, λέγω δὲ μοιχείαν.

---

et sonora, quibus ieiunas, quas proponunt, dapes condiant. Quo altero praeterea ad unum omnes infecti sunt morbo, est illa in uniuscuiusque nominis ἔτυμον inquirendi ut ita dicam rabies. Sed quum sermonis analogiam et leges neque recte scirent neque curarent, dici vix potest, quantum in hoc genere deliraverint. Sed nostrum est, qui horum scriptorum paramus editiones, nil obscurare atque eradere eorum quae peccaverint. Cornutus, ut Euterpae nomen interpretaretur, nil aliud dicere potuit nisi ἀπὸ τοῦ τὰς ὁμιλίας αὐτῶν εὐτερπεῖς εἶναι. Ex eodem fonte repetendus atque corrigendus est alter apud eundem Cornutum error. Editionis enim Osanniae pag. 173 talia tradit de Dionyso: τυγχάνει δὲ καὶ Διόνυσος ἤτοι Διόνυξος ὤν, ἢ οὖν διάνυσος, παρὰ τὸ διαίνειν ἡμᾶς ἡδέως. Ubi διαίνειν licet optimum sensum praebeat, tamen ut huius farinae mythographorum consuetudini satisfiat, non dubito cum Hemsterhusio (in margine ed. Gal. p. 214) διανύειν praeferre.

1) Ita Codd. — Schow. νῦν ἅπαντα.

2) D. — Schow. τραπῶμεν.

3) Ita D. — Schow. γὰρ οὖν.

4) A. et D. ἐμπεπολ. οὐρανῳ.

5) A. τιμωρούμενον.

ἀμφ᾽ Ἄρεος φιλότητος ἐυστεφάνου τ᾽ Ἀφροδίτης,
ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν [a]).

Εἶτα μετὰ τοῦτο δεσμοὶ, καὶ θεῶν γέλωτες, ἱκεσία τε πρὸς Ἥφαιστον Ποσειδῶνος. ἅπερ εἰ 1) θεοὶ νοσοῦσιν, οὐκέτι τοὺς παρ᾽ ἀνθρώποις ἀδικοῦντας ἔδει κολάζεσθαι. νομίζω δ᾽ ἔγωγε, καίπερ ἐν Φαίαξιν ἀνθρώποις ἡδονῇ δεδουλωμένοις ᾀδόμενα ταῦτα φιλοσόφου τινὸς ἐπιστήμης ἔχεσθαι 2). τὰ γὰρ Σικελικὰ δόγματα καὶ τὴν Ἐμπεδόκλειον γνώμην ἔοικεν ἀπὸ τούτων βεβαιοῦν, Ἄρην μὲν ὀνομάσας 3) τὸ νεῖκος, Ἀφροδίτην δὲ τὴν φιλίαν 4). τούτους οὖν διεστηκότας ἐν ἀρχῇ παρεισήγαγεν Ὅμηρος ἐκ τῆς πάλαι φιλονεικίας εἰς μίαν ὁμόνοιαν κιρναμένους. ὅθεν εὐλόγως 5) ἐξ ἀμφοῖν Ἁρμονία γεγένηται, τοῦ παντὸς ἀσαλεύτως καὶ κατ᾽ ἐμμέλειαν ἁρμοσθέντος· γελᾶν δ᾽ ἐπὶ τούτοις εἰκὸς ἦν, καὶ συνήδεσθαι τοὺς θεοὺς, ἅτε δὴ τῶν ἰδίων χαρίτων οὐκ ἐπὶ φθοραῖς διϊσταμένων 6), ἀλλ᾽ ὁμονοοῦσαν εἰρήνην ἀγόντων· δύναταί γε μὴν καὶ περὶ τῆς χαλκευτικῆς τέχνης ἀλληγορεῖν. ὁ μὲν γὰρ Ἄρης εἰκότως ἂν ὀνομάζοιτο σίδηρος, τοῦτον δὲ ῥᾳδίως Ἥφαιστος ἐχειρώσατο· τὸ

---

1) A. οἱ.

2) Cf. Schol. Od. Θ. v. 266.

3) Schol. ὀνομάζει.

4) Schow. τὴν δ᾽ Ἀφροδίτην φιλίαν.

5) Ita A., D., Schol., Heyn. et Valcken. ad Eur. Phoen. v. 829 (pag. 311). — Schow. εὔλογος, unde priusquam Codd. noveram lectionem, εὔκολος legendum esse conieceram.

6) Latet fortasse in corruptis Codd. vocabulis: τῶν ἀιδίων ἀρχῶν οὐκέτι ἐπὶ φθοραῖς διϊσταμένων.

a) Od. Θ. v. 267.

γὰρ πῦρ, ἅτ᾽, οἶμαι, σιδήρου κραταιοτέρας δυνάμεις μετειληχὸς, εὐκόλως ἐν αὐτῷ [1]) τὴν ἐκείνου στεῤῥότητα θηλύνει. δεῖ δὲ τῷ τεχνίτῃ πρὸς τὸ κατασκευαζόμενον καὶ Ἀφροδίτης· (ὅθεν, οἶμαι, διὰ πυρὸς μαλάξας τὸν σίδηρον, ἐπαφροδίτῳ τινὶ τέχνῃ τὴν ἐργασίαν κατώρθωσε. Ποσειδῶν δ᾽ ἐστὶν ὁ [2]) ῥυόμενος παρ᾽ Ἡφαίστου τὸν Ἄρη [3]) πιθανῶς· ἐπειδήπερ [4]) ἐκ τῶν βαύνων [5]) διάπυρος ὁ τοῦ σιδήρου μύδρος ἑλκυσθεὶς ὕδατι βαπτίζεται, καὶ τὸ φλογῶδες ὑπὸ τῆς ὑγρᾶς φύσεως κατασβεσθὲν [6]) ἀναπαύεται.

## CAPUT LXX.

Καθόλου δὲ τὴν Ὀδυσσέως πλάνην, εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν, ἠλληγορημένην εὑρήσει· πάσης γὰρ ἀρετῆς καθάπερ ὄργανόν τι τὸν Ὀδυσσέα παραστησάμενος ἑαυτῷ, διὰ τούτου [7]) πεφιλοσόφηκεν, ἐπειδὴ τὰς ἐκνεμομένας τὸν ἀνθρώπινον βίον ἤχθηρε κακίας, ἡδονὴν

[1]) Vocabula ἐν αὐτῷ aut cum Heynio sunt delenda, aut scribendum est ἐν αὑτῷ. Multo gravius mendum ob eandem caussam contraxit locus Anonym. d. Incredib., apud Gal. p. 91 (Περὶ Ἰοῦς): ἀλλ᾽ ὑπὸ τῆς ἀφροδισίου ἀκμῆς μείζων καὶ καλλίων αὐτῆς ἐφαίνετο, ubi quantocius restituendum est αὑτῆς.

[2]) Ita A. et D. — Schow. δὲ ὁ.

[3]) D. Ἄρην.

[4]) D. ἐπείπερ.

[5]) Ita Valcken. ad Ammon. p. 215. — Codd. et Edd. βαναύσων.

[6]) Codd. ὑπὸ τῆς ἰδίας φύσεως κατασβεσθέν. — Schow. ὑπὸ τ. ἰδ. φύσ. ὕδατι κατασβεσθέν. — Cf. Cornut. p. 102 Osann.: Καὶ γὰρ ὁ μῦθος παρὰ τῷ ποιητῇ ἐστὶ, παλαιότατος ὢν, ἐπειδὴ τῇ τοῦ πυρὸς δυνάμει ὁ σίδηρος καὶ ὁ χαλκὸς δαμάζεται.

[7]) Ita D. — A. διὰ τοῦτο, sicut Schow.

μὲν [1]), τὸ Λωτοφάγων [2]) χωρίον, ξένης γεωργὸν ἀπολαύσεως, ἣν Ὀδυσσεὺς ἐγκρατῶς παρέπλευσε· τὸν δ' ἄγριον ἑκάστου θυμὸν, ὡσπερεὶ καυτῆρι [3]) τῇ παραινέσει τῶν λόγων ἐπήρωσε. Κύκλωψ δ' οὗτος ὠνόμασται ὁ τοὺς λογισμοὺς ὑποκλωπώμενος [4]). τί δ', οὐχὶ πρῶτος, εὔδιον πλοῦν δι' ἐπιστήμης ἀστρονόμου τεκμηράμενος, ἔδοξεν ἀνέμους δεδεκέναι [5]); φαρμάκων τε τῶν παρὰ Κίρκης γέγονε κρείττων, ὑπὸ πολλῆς σοφίας πομάτων ἐπεισάκτων κακῶν λύσιν εὑρόμενος· ἡ δὲ φρόνησις ἕως Ἅιδου καταβέβηκεν, ἵνα μηδέ τι τῶν νέρθεν ἀδιερεύνητον ᾖ· ἔτι δὲ Σειρήνων ἀκούει, τὰς πολυπείρους ἱστορίας παντὸς αἰῶνος ἐκμαθών· καὶ Χάρυβδις μὲν ἡ πολυδάπανος ἀσωτία καὶ περὶ πότους ἄπληστος εὐλόγως ὠνόμασται [6]).

---

[1]) D. μὲν γάρ. — A. μέν γε τό.

[2]) Ita D. — Idem Heynius. — Schow. λωτόφαγον.

[3]) Ita D. — Schow. καυτηρίῳ.

[4]) Emendandae Codicum lectioni ὑπολωπῶν vel ὑπὸ λωπῶν viam monstravit Hasius apud Bredow., l. l. p. 254, ὑποκλωπῶν coniiciendo. Sed Graecis ea forma usurpata fuisse non videtur. Cf. Hesych. i. v. ὑποκλωπωμένη. — Hemsterh. ad Hesych. II. p. 46 ὑπιλλωπῶν. — V. Eustath. ad Odyss. p. 346. 17.

[5]) Ita D. — Schow. δεδωκέναι.

[6]) Resarcivi, quantum potui, locum vario nomine mutilum ac lacerum, codicum magnam partem praestantibus lectionibus usus. Ubi enim apud Schow. πεμμάτων, ἐπεισάκτων κακῶν οὐχ ἡττώμενος — μηδὲ τῶν νέρθεν — τίς δὲ Σειρήνων οὐκ ἀκούει, ibi Codd. istas exhibent lectiones, quas in textum recepi. Vocabula τίς δὲ Σειρήνων κτέ., ut apud Schow. leguntur ita a Meibomio sunt disposita. Cui et hunc et Heynium miror esse assensos. Nec tamen ibo infitias, vel in meliore Codicum textus recensione esse, quod graviter offendat, si cum hisce contuleris, quae sunt v. c. apud

Σκύλλαν δέ, τὴν πολύμορφον ἀναίδειαν ἠλληγόρησε. διὸ δὴ καὶ κυνῶν οὐκ ἀλόγως ὑπέζωσται προτομὰς, ἁρπαγῇ, τόλμῃ καὶ πλεονεξίᾳ πεφραγμένας [1]. αἱ δ' ἡλίου βόες ἐγκράτεια γαστρός εἰσιν· εἰ μηδὲ λιμὸν ἔσχεν [2], ἀδικίας ἀνάγκην· ἃ δὴ μυθικῶς μέν ἐστιν εἰρημένα παρὰ [3] τοὺς ἀκούοντας· εἰ δέ τις ἐπὶ τὴν [4] ἠλληγορημένην σοφίαν καταβέβηκεν [5], ὠφελιμώτατα τοῖς μιμουμένοις γενήσεται.

---

Anonym. d. Incred. p. 74 Gal.: ἑταῖραι εὐπρεπεῖς (αἱ Σειρῆνες), τῇ τε δι' ὀργάνων μούσῃ καὶ γλυκυφωνίᾳ κάλλισται, αἷς οἱ προσερχόμενοι κατησθίοντο τὰς οὐσίας. Ita Anaxilas Comicus apud Athen. XIII. p. 558. C. de meretrice:

ἡ Θεανὼ δ' οὐχὶ Σειρὴν ἐστὶν ἀποτετιλμένη;

V. Eustath. ad Odyss. p. 468 sqq. — In iis quae sequuntur, veram lectionem πολυδάπανος ἀσωτία prabet Cod. D., et potuit suppeditare Eustath. ad Od. p. 480. 37: ὅτι δὲ εἴς τινα (leg. εἰς τὴν) πολυδάπανον ἀσωτίαν καὶ ἡ χάρυβδις ἀλληγορικῶς ἐκλαμβάνεται, δῆλον ἐκ τῶν παλαιῶν. — Schow. in textu ἡ δάπανος ἱστορία, in annotatione ἡ δάπανος περὶ εὐωχίας ἡδυπάθεια. — Gesner. ἡ δάπ. γαστριμαργία. — Toup. ad Longin. p. 240: ἡ δάπανος ἄνθρωπος.

[1]) Schow. δὴ κύνας — προτομαῖς — πεφραγμέναις. — D. δὴ καὶ κύνας — προτομαῖς — πεφραγμένας. — Heyn. δὴ κυνῶν — προτομὰς — πεφραγμένη.

[2]) Heynius ἀκράτεια et ἔσχον; e quibus prius bene fortasse se habet, posterius haud dubie est falsum. Quid scripserit Heraclitus, mihi non liquet.

[3]) Ita D. — Schow. περί.

[4]) Ita Heyn. — Codd. εἰ δ' ἐπί.

[5]) D. μεταβέβηκεν.

## CAPUT LXXI.

Τὸν μὲν γὰρ Αἴολον ἐξαιρέτως ἔγωγε νομίζω τὸν ἐνιαυτὸν εἶναι [1], ταῖς [2] δωδεκαμήνοις τοῦ χρόνου περιόδοις ἐνδεδεμένον· ὠνόμασται γοῦν αἴολος, τουτέστι ποικίλος, ἐπειδήπερ οὐκ ἰσοχρόνῳ καὶ μονοειδεῖ κατὰ πᾶσαν ὥραν τῇ φύσει συνήνωται, διάφοροι δ' αὐτὸν αἱ παρ' ἕκαστα μεταβολαὶ ποικίλλουσιν. ἔκ τε γὰρ ἀργαλέου κρύους εἰς πραεῖαν ἡδονὴν ἔαρος γαληνοῦται, καὶ τὸ νοτερὸν τῆς ἐαριζούσης καταστάσεως ἔμπυρος ἡ τοῦ θέρους βία πυκνοῖ. μετόπωρον δέ, φθινὰς ὥρα καρπῶν ἐτησίων, τὸ θέρειον ἐκλύσασα [3]) θάλπος, ὥραις χειμερίαις προοιμιάζεται. ταύτης δὲ τῆς ποικιλίας ὁ ἐνιαυτὸς ὢν πατήρ, εἰκότως αἴολος ὠνόμασται. παῖδα δ' αὐτὸν ὠνόμασεν Ἱππότου· τί γὰρ ὀξύτερον χρόνου, ἀεὶ φερομένῳ καὶ ῥέοντι τῷ τάχει τοὺς ὅλους αἰῶνας ἐκμετρουμένου; τί δ' οὕτω ποδῶκες; δώδεκα δ' αὐτοῦ παῖδές εἰσιν οἱ μῆνες·

„Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες. [a]

Τὸ μὲν εὔκαρπον καὶ γόνιμον τῶν τὸ θέρος ἐμπιμπλάντων [4]) μηνῶν θηλείᾳ γονῇ προσείκασε, τὸ δὲ στερρὸν καὶ πεπηγὸς τῶν χειμερίων ἠρρένωσεν. οὐκ ἀσεβὴς δ' οὐδ' ὁ περὶ τῶν γάμων μῦθος. ἀλλὰ τοὺς ἀδελφοὺς ἀνέ-

---

[1]) Cf. Schol. Od. K. 6.

[2]) Ita A. — Schow. τοῖς.

[3]) Ita Heynius. — Codd. et Edd. ἑλκύσασα.

[4]) A. ἐκπιμπλάντων.

[a]) Od. K. v. 6.

μιξε ταῖς ἀδελφαῖς· ἐπειδήπερ ὑπ' ἀλλήλων συμβέβηκε τὰς ὥρας ὀχεῖσθαι. ταμίας δ' ἐστὶν ἀνέμων,

Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλησιν. a)

Ἔμμηνοι γὰρ αἱ τούτων φοραὶ, καὶ κατὰ προθεσμίαν πνέουσαι 1), δεσπότης δ' ἁπάντων ὁ ἐνιαυτός.

## CAPUT LXXII.

Καὶ τὰ μὲν ὑπὲρ Αἰόλου τοιαύτης ἠξίωται φυσιολογίας. ὁ δὲ Κίρκης κυκεὼν ἡδανῆς ἐστὶν ἀγγεῖον, ὃ πίνοντες οἱ ἀκόλαστοι διὰ τῆς ἐφημέρου πλησμονῆς συῶν ἀθλιώτερον βίον ζῶσιν. διὰ τοῦτο οἱ μὲν Ὀδυσσέως ἑταῖροι χορὸς ὄντες ἠλίθιος ἥττηνται τῆς γαστριμαργίας 2). ἡ δ' Ὀδυσσέως φρόνησις ἐνίκησε τὴν παρὰ Κίρκῃ τρυφήν. ἀμέλει τὸ πρῶτον ἐκ τῆς νεὼς ἀνιόντι καὶ πλησίον ὄντι τοῖς προθύροις Ἑρμῆς ἐφίσταται, τουτέστιν ὁ ἔμφρων λόγος. ὑφιστάμεθα γοῦν ἐτύμως αὐτὸν Ἑρμῆν λέγεσθαι παντὸς τοῦ νοουμένου κατὰ ψυχὴν ἑρμηνέα τινὰ ὄντα. τετράγωνόν τε ζωγράφων καὶ λιθοξόων χεῖρες αὐτὸν ἐλείαναν, ὅτι πᾶς ὀρθὸς λόγος ἑδραίαν ἔχει τὴν βάσιν οὐκ ὀλισθηρῶς ἐφ' ἑκάτερα κυλινδούμενος. καὶ μὴν καὶ πτεροῖς 3) ἀνέστεψαν αὐτὸν, αἰνιττόμενοι τὸ παντὸς λόγου τάχος, εἰρήνη τε χαίρει· πόλεμοι γὰρ ἥκιστα 4) λόγων ἐν-

---

1) Usque eo in Heracliti editionibus Allegoriarum textus continetur. Quae iam sequuntur inde a vocabulo δεσπότης, e duobus hausta sunt Codicibus Vaticanis, de quibus in Praefatione est expositum.

2) Ita A. — D. περὶ Κίρκην.

3) A. μὴν πτεροῖς.

4) Ita A. — D. οὐχ ἥκιστα.

a) Od. K. v. 22.

δεεῖς. τὸ γὰρ πλεῖστον ἐν αὐτοῖς κράτος εἰλήχασι χεῖρες. Ὅμηρος δὲ καὶ διὰ τῶν ἐπιθέτων τοῦτ' ἔοικεν ἡμῖν σαφέστερον ποιεῖν. ἀργειφόντην τε γὰρ αὐτὸν ὀνομάζει, οὐ μὰ Δί' οὐ τοὺς Ἡσιοδείους μύθους ἐπιστάμενος, ὅτι τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν, ἀλλ' ἐπειδὴ μία παντὸς λόγου φύσις, ἐκφαίνειν [1]) ἐναργῶς τὸ νοούμενον, διὰ τοῦτο εἶπεν αὐτὸν ἀργειφόντην. ἐριούνιον δὲ καὶ σῶκον, ἔτι δ' ἀκάκητα, ὅτι ἐκτὸς τῆς κακίας ὁ λόγος ᾤκισται, σώζει τε πάντα τὸν χρώμενον αὐτῷ καὶ μέγα ὠφέλησεν. τί δὴ οὖν διπλᾶς καὶ διχρόνους διένειμε τῷ θεῷ τιμάς, τὴν μὲν ὑπὸ γῆν χθονίαν, τὴν δ' ὑπὲρ ἡμᾶς οὐράνιον; ἐπειδὴ διπλοῦς ὁ λόγος. τούτων δ' οἱ φιλόσοφοι τὸν μὲν ἐνδιάθετον καλοῦσι, τὸν δὲ προφορικόν. ὁ μὲν οὖν τῶν ἔνδον λογισμῶν ἐστιν ἐξάγγελος [2]), ὁ δ' ὑπὸ τοῖς στέρνοις καθείρκται [3]). φασὶ δὲ τούτῳ χρῆσθαι καὶ τὸ θεῖον. μηδενὸς γὰρ ὄντες ἐνδεεῖς τὴν φωνὴν τῆς χρείας ἐν αὐτοῖς στέργουσι. διὰ τοῦτο οὖν Ὅμηρος τὸν μὲν ἐνδιάθετον εἶπε χθόνιον. ἀφανὴς γὰρ ἐν τοῖς τῆς διανοίας βυθοῖς ἀπεσκότωται. τὸν δὲ προφορικὸν, ἐπεὶ [4]) πόρρωθεν ἐστι δῆλος, ἐν οὐρανῷ κατῴκισεν. γλῶττα δ' αὐτῷ θυσία [5]), τὸ μόνον [6]) λόγου μέρος, καὶ τελευταίῳ ἐπὶ [7]) κοίτην ἰόντες Ἑρμῇ σπένδουσιν, ἐπεὶ πάσης φωνῆς ἐστιν ὅρος ὕπνος. οὗτος οὖν Ὀδυσσεῖ παρέστηκε σύμβουλος [8]) ἐπὶ

---

[1]) Ita A. — D. ἐμφαίνειν.

[2]) A. et D. ἐστι διάγγελος.

[3]) Ita A. — D. καθεῖκται.

[4]) A. ἐπειδή.

[5]) A. οὐσία.

[6]) Fort. leg. μόνιμον. V. Eustath. 1471. 13; 561, 34 et 1574. 36.

[7]) A. et D. κατά.

[8]) A. σύμβολος.

Κίρκην βαδίζοντι. καὶ κατ᾽ ἀρχὰς μὲν ὑπ᾽ ὀργῆς τε καὶ λύπης ὢν ἐπύθετο φερόμενος, ἀκρίτως ἐνθουσιᾷ. μετὰ μικρὸν 1) δ᾽ ἐκείνων τῶν παθῶν μαραινομένων ὑπαναφύεται 2) τὸ μετὰ τοῦ συμφέροντος εὐλόγιστον. ὅθεν Ἑρμείας χρυσόρραπις ἀντεβόλησεν αὐτῷ. τὸ μέν γε χρυσοῦν ἀντὶ τοῦ καλοῦ παρείληπται, τὸ δὲ ῥάπτειν μεταφορικῶς ἀντὶ τοῦ συντιθέναι τε καὶ διανοεῖσθαι. λέγει γοῦν ἐν ἑτέροις· κακὰ ῥάπτομεν ἀμφιέποντες a). διὰ τοῦτο καὶ μύθους εἶπε πλοκίους, ἐπεὶ λόγος ἐκ λόγου γινόμενος καὶ συρραφεὶς ἑαυτῷ εὑρίσκει 3) τὸ συμφέρον. οὐκοῦν χρυσόρραπιν εἶπε τὸν λόγον ἐκ τοῦ δύνασθαι καλῶς βουλεύεσθαί τε καὶ ῥάπτειν πράγματα. παραστὰς οὖν οὗτος ὁ λογισμὸς ἀπὸ τῆς ἀκρατοῦς ὀργῆς ἐπέπληξεν αὐτῷ, μάτην καταπεύδοντι· τίπτ᾽ αὖτ᾽ ὦ δύστηνε δι᾽ ἀκρίας ἔρχεαι οἶος b), χώρου ἄιδρις ἐών; ταῦτα πρὸς ἑαυτὸν ἐλάλησεν Ὀδυσσεὺς, μετανοοῦντι λογισμῷ τὴν πρότερον ὁρμὴν χαλινώσας 4). τὴν δὲ φρόνησιν οὐκ ἀπιθάνως μῶλυ προσεῖπε, μόλις εἰς ἀνθρώπους ἐρχομένην 5). φύσις δ᾽ αὐτῆς ῥίζα μέλαινα, γάλακτι δὲ εἴκελον ἄνθος c). πάντα γὰρ οὖν συλλήβδην τὰ τηλικαῦτα τῶν ἀγαθῶν τὰς μὲν ἀρχὰς προσάντεις καὶ χαλεπὰς ἔχει· γεννικῶς δ᾽ ὅταν ὑποστῇ τις ἐναθλήσας τῷ κατ᾽ ἀρχὰς

---

1) A. κατὰ μικρόν. — D. κατὰ μικρῶν.

2) A. et D. ὑπαναλύεται.

3) A. συρραφῆσαι αὐτῷ γενόμενος εὑρίσκει.

4) A. τὴν προτέραν ὁρμὴν ἀναχαλινώσας. — D. τὴν προτέραν ὁρμὴν χαλινώσας.

5) A. μῶλυ μόνους ἀνθρώπους ἢ μόλις εἰς ὀλίγους ἐρχομένην.

a) Od. Γ. 118. b) Od. K. 281, ubi πῇ δ᾽ αὖτ᾽. — A. τίφθ᾽ αὔτως, δύστηνε. c) Od. K. 304.

πόνῳ, τηνικαῦτα γλυκὺς ἐν φωτὶ τῶν ὠφελειῶν ὁ καρπός· ὑπὸ τοῦ τοιούτου φρουρούμενος Ὀδυσσεὺς λογισμοῦ τὰ Κίρκης νενίκηκε φάρμακα.

## CAPUT LXXIII.

Μεταβὰς δ' ἐκ [1]) τῶν ὑπὲρ γῆς θεωρημάτων οὐδὲ τὴν ἀφανῆ καὶ νεκρὰν φύσιν εἴασεν ἀναλληγόρητον [2]). ἀλλὰ καὶ τὰ ἐν Ἅιδου συμβολικῶς ἐφιλοσόφησε. Κωκυτὸς οὖν [3]) ὁ πρῶτος ὀνομάζεται ποταμὸς, ἐπώνυμον ἀνθρωπίνου πάθους κακόν. θρῆνοι γὰρ ἐπὶ τοῖς τεθνεῶσιν οἱ παρὰ τῶν ζώντων [4]). Πυριφλεγέθοντα δ' ἐφεξῆς ὀνομάζει. μετὰ γὰρ τὰ δάκρυα ταφαὶ καὶ πῦρ ἀφανίζον, ὅ ἐστι θνητῆς σαρκὸς ἐν ἡμῖν. ἀμφοτέρους δὲ τοὺς ποταμοὺς εἰς ἕνα τὸν Ἀχέροντα συρρέοντας οἶδεν, ἐπείπερ ἐκδέχεται μετὰ τοὺς πρώτους κωκυτοὺς καὶ τὴν ὀφειλομένην ταφὴν ἄχη τινὰ καὶ λῦπαι χρόνιοι, πρὸς ὀλίγας ὑπομνήσεις ἐρεθίζουσαι τὰ πάθη. Στυγὸς δ' ἀπορρῶγες οἱ ποταμοὶ διὰ τὴν στυγνότητα, καὶ τὴν ἐπὶ τῷ θανάτῳ κατήφειαν. αἴδης μὲν οὖν ὁ ἀφανὴς τόπος ἐπωνύμως ὠνόμασται. Φερσεφόνη δ' ἀλληγορικῶς [5]) ἡ τὰ πάντα πεφυκυῖα διαφθείρειν, ἐν οἷς οὐκ ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει μῆλον δ' ἐπὶ μήλῳ [a]). τὰ δ' ἐνερριζωμένα πρέμνα τοῖς ἄλσεσιν

---

[1]) A. et D. δέ.

[2]) A. μεταβὰς δ' ὑπὲρ γῆς θεωρημάτων οὐδὲ.. ἀναλληγόρητον. — D. ἀλληγόρητον.

[3]) A. γοῦν.

[4]) Ita A. — D. θρηνοῦσι et περί.

[5]) A. et D. ἄλλως.

[a]) Od. H. v. 120.

αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι [a]). τὰς δὲ θυσίας συνῳκείωσε τῷ τόπῳ . . . . τῆς [1]) σελήνης ἀμαυρουμένης ὁ τοῦ ἡλίου κύκλος ἀμβλύνεται, καὶ πολλάκις ἄστρων διαφεγγεῖς [2]) ὁρῶμεν μαρμαρυγάς. εὐλόγως οὖν τοῦτο Θεοκλύμενος εἶπεν, ὁ τὰ θεῖα κλύων. εὗρε γὰρ ἄξιον τῆς φυσικῆς θεωρίας καὶ τοὔνομα.

νυκτὶ μὲν ὑμέων
Εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γοῦνα [b]).

Καὶ μὴν ἐν ταῖς ἐκλείψεσιν αἵματι προσφερὲς χροιᾷ τὸ φαινόμενον [3]), ἐκφοινίσσεται γάρ [4])· διὰ τοῦτο καὶ ἐπήγαγεν·

αἵματι δ' ἐρράδαται [5]) τοῖχοι καλαί τε μεσόδμαι [c]).

προθεσμία δὲ τῆς ἐκλείψεως, ἣν Ἵππαρχος ἠκρίβωσε κατὰ τὴν ὀνομαζομένην τριακάδα καὶ νουμηνίαν, ἣν Ἀττικῶν παῖδες ἕνην τε καὶ νέαν ὀνομάζουσιν. οὐδ' ἂν ἄλλην τις εὕροι τῆς ἐκλείψεως ἡμέραν. ὅ τε οὖν Θεοκλύμενος ἱστορεῖ [6]) ταῦτα. τίς δ' ἦν ὁ χρόνος [7]), ἔξεστι παρ' αὐτοῦ μαθεῖν Ὁμήρου·

---

[1]) Interierunt haud dubie nonnulla hoc loco. Quomodo in utroque codice exstant (A. ἀμαυρούμενος), vocabula omnino inter se coniungi atque explicari nequeunt.

[2]) Ita A. — D. διαφανεῖς.

[3]) D. αἵματος προσφερής. — A. αἵματι προσφερὴς χρόα τὸ βλεπόμενον.

[4]) γάρ addidi e Cod. A. — ἐκφοινίσσεται διά. D.

[5]) A. ἐρρέδαται.

[6]) Ita A. — D. ἱστορεῖται.

[7]) Codd. ἱστορεῖ(ται) ταῦτα τίς ἦν ὁ χρόνος.

[a]) Od. K. v. 510. [b]) Od. Y. v. 351.

[c]) Od. Y. v. 354.

τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο d).

τοσαύτη καὶ περὶ τῶν παρακολουθούντων καὶ τῆς προθεσμίας ἡ κατὰ τὴν ἔκλειψιν 1) ἀκρίβεια. τί δεῖ τούτοις ἅπασι προσθεῖναι τὴν ἐπὶ τέλει μνηστηροφονίας παρεστῶσαν Ἀθηνᾶν Ὀδυσσεῖ, τουτέστι τὴν φρόνησιν; εἰ μὲν γὰρ ἐκ τοῦ φανεροῦ καὶ βιαζόμενος ἠμύνατο τοὺς λελυπηκότας, Ἄρης ἂν αὐτῷ συνηγωνίζετο 2). νῦν δὲ δόλῳ καὶ τέχνῃ περιελθὼν, ἵν' ἀγνοούμενος ἕλῃ, διὰ συνέσεως κατώρθωσε. ἃ δὴ πάντα καθ' ἓν ἀθροίσαντες 3), ἀλληγορίας πλήρη τὴν ὅλην ποίησιν εὑρίσκομεν.

## CAPUT LXXIV.

Ἆρ' οὖν ἐπὶ τούτοις ὁ μέγας οὐρανοῦ καὶ θεῶν ἱεροφάντης Ὅμηρος, ὁ τὰς ἀβάτους καὶ κεκλεισμένας ἀνθρωπίναις ψυχαῖς ἀτραποὺς ἐπ' οὐρανὸν ἀνοίξας, ἐπιτήδειός ἐστι κατακριθῆναι δυσσεβεῖν, ἵνα ταύτης τῆς ἀνοσίου καὶ μιαρᾶς ψήφου διενεχθείσης, ἀναιρεθέντων τε τῶν ποιημάτων, ἄφωνος ἀμαθία τοῦ κόσμου κατασκεδασθῇ, καὶ μήτε νηπίων παίδων χορὸς ὠφελῆται, τὰς σοφίας παρ' Ὁμήρου πρῶτον ὡς ἀπὸ τιθήνης ποτιζόμενος γάλα, μήτ' ἀντὶ παίδων οἱ νεανίαι καὶ τὸ παρηβηκὸς ἤδη τῷ χρόνῳ γῆρας ἀπολαύῃ 4) τινὸς ἡδονῆς, πᾶς δ' ὁ βίος ἀφαιρεθεὶς 5) τὴν γλῶτταν ἐν κωφότητι διάγῃ 6);

---

1) D. ἔλλειψιν ἀκρίβεια. — A. ἔκλειψιν ἀκρίβειαν.

2) A. ἄριστ' ἂν ὁ πόλεμος συνηγωνίζετο.

3) A. διὰ δὴ πάντα. — D. ἀθρήσαντες.

4) Ita A. — D. ὁ παρηβηκὼς ἤδη τῷ χρόνῳ τοῦ γήρως μὴ ἀπολαύῃ.

5) A. ἀναιρεθεὶς. 6) Ita A. — D. διάξῃ.

d) Od. Ξ. v. 162.

Φυγαδευέτω τοίνυν ἀπὸ τῆς ἰδίας πολιτείας Πλάτων Ὅμηρον, ὅς αὐτὸν [1]) ἐξ Ἀθηνῶν ἐφυγάδευσεν εἰς Σικελίαν. ἔδει δὲ ταύτης τῆς πολιτείας Κριτίαν ἀπωστὸν εἶναι, τύραννος γὰρ, ἢ Ἀλκιβιάδην, τὸν ἐν παισὶ μὲν ἀπρεπῶς θῆλυν, ἐν δὲ μειρακίοις ἄνδρα, τὸν ἐν συμποσίοις Ἐλευσίνια παίζοντα, καὶ Σικελίας μὲν ἀποστάτην, Δεκελείας δὲ κτιστήν. ἀλλά τοι Πλάτων μὲν Ὅμηρον τῆς ἰδίας ἐξώρισε [2]) πόλεως. ὁ δὲ σύμπας κόσμος Ὁμήρου μία φησὶν εἶναι πατρίς·

Ὁπποίας τὸν Ὅμηρον ἀναγραψώμεθα πάτρης,
Κεῖνον ἐφ' ὃν πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις [3]),

ἐξόχως δ' Ἀθῆναι [4]), αἵ Σωκράτην μὲν ἀρνησάμεναι πολίτην μέχρι φαρμάκου [5]), μίαν δ' εὐχὴν ἔχουσαι δοκεῖν Ὁμήρου πατρὶς εἶναι. Πῶς γε μὴν [6]) αὐτὸς Ὅμηρος ἐμπολιτεύεσθαι τοῖς Πλάτωνος ἂν ἐκαρτέρησε νόμοις, οὕτως ἐναντίᾳ καὶ μαχομένῃ στάσει διῳκισμένων αὐτῶν; ὁ μὲν γὰρ συμβουλεύει κοινοὺς γάμους τε καὶ [7]) τέκνα. τῷ δ' ἄμφω τὰ σωμάτια γάμοις σώφροσι καθωσίωται. διὰ

---

[1]) A. ὡς αὐτόν.

[2]) A. ἐκβέβληκε τῆς ἰδίας πόλεως.

[3]) Restitui, quod latebat in corruptis ac laceris codicum lectionibus, Epigramma notissimum, quod est in Anthol. Planud. IV. 294, Tom. II. p. 715 ed. Iacobs., qui in altero versu pro ἐφ' ὃν habet ἐφ' ᾧ. Cf. Leon. Allatium d. patria Homeri p. 25. — Cod. D. ποίας γοῦν ἀστὸν ὅμηρον ἀναγράψοιμι πατρίδος, ἐκεῖνον, ὃν φῶτα καὶ χεῖρας ἔχουσι πόλεις. — Cod. A. π. γ. ἁ ὅμηρον ἀναγραψώμεθα πάτρης κεῖνον ὃν φῶτα καὶ χείρους ἔχουσι πόλεις.

[4]) A. Ἀθῆναι δέ.

[5]) Ita A. — D. Σωκράτους μὲν ἀρνησάμεναι πολιτεί....

[6]) Ita A. — D. πῶς οὖν.

[7]) A. γάμους καί.

μὲν γὰρ Ἑλένην ἐστρατεύκασιν Ἕλληνες. διὰ Πηνελόπην δ' Ὀδυσσεὺς πλανᾶται καὶ θεσμοὶ δικαιότατοι δι' ἀμφοῖν τῶν Ὁμήρου σωματίων παντὸς ἀνθρωπίνου βίου ἐμπολιτεύονται. τοὺς δὲ Πλάτωνος διαλόγους ἄνω καὶ κάτω παιδικοὶ καθυβρίζουσιν ἔρωτες, οὐδαμοῦ δ' οὐχὶ τῆς ἄρρενος [1]) ἐπιθυμίας μεστός ἐστιν ὁ ἀνήρ. Μούσας μὲν Ὅμηρος ἐπικαλεῖται θεὰς παρθένους ἐπὶ τοῖς λαμπροτάτοις τῶν κατορθωμάτων, ὅπου τι καὶ γεννικόν ἐστιν ἐπίτευγμα καὶ τῆς Ὁμηρικῆς θειότητος ἄξιον.... .... [2]) οὐκ ἔλασσον ἢ κατὰ πόλιν διαταττομένη καὶ μεγάλαις ἡρώων ἀριστείαις. συνεχῶς οὖν καθάπερ εἰς χῶρον αὐτῷ συνήθη τὸν Ἑλικώνιον ἐφίσταται λέγων·

Ἕσπετε νῦν μοι Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Οἵτινες ἡγέμονες Δαναῶν καὶ κοίρανοι ἦσαν [a]).
Ἕσπετε νῦν μοι Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι.
Ὅστις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθεν [b])·

ἢ πάλιν ἡνίκα τῆς Ἀγαμέμνονος ἀνδραγαθίας ἐνάρχεται, τοῖς τρισὶ θεοῖς ἥρωα σύμμορφον ὑμνῶν [3]). ἀλλ' ὅ γε

---

[1]) A. ἄρσενος.

[2]) Conclamatum locum haud facile arbitror exstiturum, qui ita possit sanare, ut ipsa scriptoris revocet verba; cuius ne sententiam quidem ex iis, quae sunt in utroque codice eodem modo vitiose scripta, coniiciendo licet assequi.

[3]) D. συνεχῶς οὖν καθάπερ αὐτὸς πρὸς χῶρον συνήθη τὸν Ελικώνιον ἐφίσταται λέγων· ἔσπετε νῦν μοι μοῦσαι ὅστις κτέ. καὶ πάλιν οἵτινες κτέ, ἡνίκα τῆς Ἀγ. ἀνδραγ. ἐνάρχεται. — A. καθάπερ εἰς χῶρον αὐτῷ συνήθη τὸν Ἑλικώνιον ἐφίσταται λέγων ἔσπ........ κοίρανοι ἦσαν, ἢ πάλιν ἡνίκα τῆς Ἀγαμ. ἀνδρ. ἐνέρχεται τοῖς τρισὶ θεοῖς ἥρ. σύμμ. ὑμνῶν· ἔσπετε..... ἀντίος ἦλθεν.

a) Il. B. v. 487. b) Il. Λ. v. 218.

θαυμαστὸς [1]) ἐν τῷ περικαλλεῖ Φαίδρῳ τῆς σώφρονος ὑπὲρ ἐρώτων διακρίσεως ἀρχόμενος ἐτόλμησεν ὡς ὁ Λοκρὸς Αἴας ἐν τῷ παρθενῶνι τῆς ἁγιωτάτης [2]) θεᾶς, ἄγος τι Μουσῶν κατασπείσας, τὰς σώφρονας ἔργων ἀσελγῶν καλέσαι βοηθούς. « "Ἄγετε δὴ, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι εἴτε διὰ γένος μουσικὸν τὸ Λιγύων ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμ μοι λάβεσθε τοῦ μύθου [3])." περὶ τίνος, εἴποιμεν ἂν [4]), ὦ θαυμασιώτατε Πλάτων, περὶ [5]) οὐρανοῦ καὶ τῆς τῶν ὅλων φύσεως ἢ περὶ γῆς καὶ θαλάσσης; ἀλλ' οὐδὲ περὶ ἡλίου καὶ σελήνης οὐδὲ περὶ ἀπλανῶν τε καὶ πλανήτων κινήσεως. ἀλλὰ τί τῆς εὐχῆς πέρας ἐστὶν, αἰσχύνομαι καὶ λέγειν· ἦν οὕτω δὴ παῖς [6]) καλὸς, μᾶλλον δὲ μειρακίσκος, οὗ πολλοὶ μὲν ἦσαν ἐρασταὶ, εἷς δέ τις αἱμύλος, ὃς ἐπεπείκει αὐτὸν ἐρῶν ὅτι οὐκ ἐρῴη καί ποτε αὐτὸν αἰτῶν ἔλεγεν ὧδε γυμνοῖς τοῖς ὄμμασι τὴν ἀσέλγειαν οὐδ' [7]) εὐπρεπεῖ σχήματι τὸ τοῦ πράγματος αἰσχρὸν ὑποκλέψας. τοιγαροῦν εἰκότως ὁ μὲν Ὁμήρου λόγος ἡρώων ἐστὶ βίος, οἱ δὲ Πλάτωνος διάλογοι μειρακίων εἰσὶν ἔρωτες καὶ πάντα [8]) παρ' Ὁ-

---

[1]) A. θεῖος Πλάτων.

[2]) Ita A. — D. ἀθεωτάτου.

[3]) Restitui Platonis verba e Phaedr. p. 237. A. Ita enim Heracliti Codd. ἄγετε δὴ, Μοῦσαι εἴτε δι' ᾠδῆς εἶδος λιγείας (A. εἶδος λιγ.... εἴτε), εἴτε διὰ γένος τι μουσικὸν ταύτην ἔσχετε τὴν ἐπωνυμίαν σύμμοι λάβεσθε (A. λάβεσθαι) τοῦδε τοῦ μύθου.

[4]) A. εἴποιμ' ἄν. [5]) Codd. ὑπέρ.

[6]) D. ἦν παῖς. — A. ἦν δὲ παῖς οὕτω.

[7]) A. ὄμμασι τὴν ἀσέλγειαν ὡς ἐπὶ τέλους ἀνέῳξεν οὐδ' εὐπρεπεῖ σχήματι.

[8]) A. πάντα τά.

μήρῳ γεννικῆς ἀρετῆς γέμει. φρόνιμος Ὀδυσσεύς, ἀνδρεῖος Αἴας, σώφρων Πηνελόπη, δίκαιος ἐν ἅπασι Νέστωρ, εὐσεβὴς εἰς πατέρα Τηλέμαχος, ἐν φιλίαις πιστὸς ὁ Ἀχιλλεύς, ὑπὲρ ὧν παρὰ Πλάτωνι τῷ φιλοσόφῳ ἐξώρισται τῆς πόλεως [1]. πλὴν εἰ μὴ διὰ βίου ὠφέλειαν φήσομεν εἶναι τὰ σεμνὰ τῶν ἰδεῶν τερετίσματα [2]) καὶ παρ' Ἀριστοτέλει τῷ μαθητῇ γελώμενα. διὰ τοῦτο ἀξίας οἶμαι τῶν καθ' Ὁμήρου λόγων τὰς δίκας ὑπέσχεν, ἀκόλαστον γλῶσσαν ἔχων αἰσχίστην νόσον, ὡς ὁ Τάνταλος, ὡς ὁ Καπανεύς, ὡς οἱ διὰ γλωσσαλγίαν μυρίαις κεχρημένοι συμφοραῖς. πολλάκις ἐπὶ τὰς τυραννικὰς ἐφθείρετο θύρας, ἐν ἐλευθέρῳ δὲ σώματι δουλικὴν ἠνέσχετο τύχην καὶ μέχρι πράσεως. οὐδ' εἷς γὰρ ἀγνοεῖ τὸν Σπαρτιάτην Πόλλιν [3]), ᾧ οὐδ' ὡς Λιβυκοῦ χάρις ἐλέου σέσωσται, καὶ μνῶν εἴκοσι καθάπερ ἀνδράποδον εὐτελὲς ἐτιμήθη, καὶ ταῦτα τῶν εἰς Ὅμηρον ἀσεβημάτων ὀφειλομένην τιμωρίαν ὑποσχὼν ἀχαλίνου [4]) γλώσσης.

---

[1]) Quod scripsi, haud dubie ab Heraclito ita non est profectum. Sed retinui, quae e Codd. vestigiis tamquam sana prodierunt abiectis reliquis. Ita enim D: πλάτωνι τῷ φιλοσ. τῆς τοῦ φῶ τοῦ Πλάτωνος ἐξώρισται πόλεως. — A. πλάτ. τῷ φιλοσόφῳ πλὴν εἰ μὴ νὴ δία τιμὴν lacunā ὠφελήσομεν εἶναι τὰ σεμνά.

[2]) Spectat Aristotelis locum in Ἀναλ. Ὑστ. pag. 228. 28. Cf. omnino Hemsterhusius in Addend. ad Thom. Magist. ed. Bernard. p. 908. 3.

[3]) Codd. Πῶλον. Quae sequuntur pessime habita vocabula, ita fort. possunt emendari: ᾧ δουλεύων Λιβυκοῦ χάριν ἐλέου σέσωσται. Qui enim redemit e servitute Platonem, Anniceris fuit Cyrenaeus, de quo Diog. Laert. in vita Plat. et Olympiod. V. Plat., pag. 3. ed. Westerm.

[4]) Codd. omisso quod necessario requiritur participio, τιμωρίαν ἀχαλίνου γλώσσης.

## CAPUT LXXV.

*Πρὸς μὲν οὖν Πλάτωνα καὶ πλείω λέγειν δυνάμενος ἐῶ, τοὔνομα τῆς Σωκρατικῆς φιλοσοφίας αἰδούμενος. Ὁ δὲ Φαίαξ φιλόσοφος Ἐπίκουρος, ὁ τῆς ἡδονῆς ἐν τοῖς ἰδίοις κήποις γεωργός, ὁ πᾶσαν ποιητικὴν ἄστροις σημειωσάμενος* [1]*, οὐκ ἐξαιρέτως μόνον Ὅμηρον, ἆρ' οὐχὶ καὶ ταῦθ' ἃ μόνα τῷ βίῳ παρέδωκε αἰσχρῶς ἀγνοήσας παρ' Ὁμήρου κέκλοφεν; ἃ γὰρ Ὀδυσσεὺς ὑποκρίσει παρ' Ἀλκίνῳ μὴ φρονῶν ἐψεύσατο ταῦτα ὡς ἀληθεύων ἀπεφήνατο τέλος* [2]*' βίου, ὅταν*

*εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα*
*Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ* [3]*,*
*Τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι* [a]*·*

*λέγει δ' Ὀδυσσεὺς οὐχ ὁ παρὰ Τρωσὶν ἀριστεύων, οὐχ ὁ Θρᾴκην κατασκάπτων* [4] *οὐδ' ὁ τὰς παρὰ Λωτοφάγοις* [5] *ἡδονὰς παραπλέων, οὐδ' ὁ τοῦ μεγίστου Κύκλωπος ἔτι μείζων, ὃς ἔτι ζῶν εἶδεν αἴδην, οὐχ οὗτος Ὀδυσσεύς ἐστιν ὁ ταῦτα λέγων, ἀλλὰ τὸ βραχὺ τῆς Ποσειδῶνος ὀργῆς λείψανον, ὃν οἱ βαρεῖς χειμῶνες ἐπὶ τὸν Φαιάκων ἔλεον ἐξεκύμηναν. ἃ δὴ παρὰ τοῖς ὑποδεξαμένοις* [6] *ἐνομίζετο*

---

[1]) Codd. *σημηνάμενος*. At cf. Ael. Hist. Anim. II. 7; Liban. I. p. 347; Paroemiogr. Gr. ed. Schneidew. I. p. 206 et Erasm. Adag. p. 128.

[2]) A. *τέλη*. — D. *τέλει*. [3]) D. *ἀοιδῆς*.

[4]) Quamnam Odyssei *ἀρίστειαν* his verbis possit indicare Heraclitus ignoro.

[5]) A. *παρὰ τὰς λωτοφάγους*. — D. *περὶ λωτοφάγους*.

[6]) Ita A. — D. *δεξαμένοις*.

[a]) V. Od. *I*. v. 7 sqq.

τίμια τούτοις ἐξ ἀνάγκης [1]) συγκαταινεῖ, μίαν εὐχὴν πεποιημένος ἣν ἀτυχῶν ἐπαρᾶται·

δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν [a]).

ἃ δὴ πραττόμενα φαύλως οὐκ ἐνῆν διδάσκοντα βελτίω ποιεῖν τούτοις διὰ τὸ χρειῶδες ἠναγκάσθη μαρτυρεῖν. Ἀλλ' ὅγ' Ἐπίκουρος ἀμαθίᾳ τὴν Ὀδυσσέως πρόσκαιρον ἀνάγκην βίου κατεβάλετο δόξαν, ἃ παρὰ Φαίαξιν ἐκεῖνος ἀπεφήνατο κάλλιστα [2]), ταῦτα τοῖς καλοῖς κήποις φυτὰ [3]) ἐμφυτεύσας. Ἐπίκουρος μὲν οὖν οἰχέσθω πλείονας οἶμαι περὶ τὴν ψυχὴν ἐσχηκὼς νόσους ἢ περὶ τὸ σῶμα· τὴν δ' Ὁμήρου σοφίαν ἐκτεθείακεν αἰὼν σύμπας καὶ προϊόντι τῷ χρόνῳ νεάζουσιν ἀεὶ αἱ [4]) ἐκείνου χάριτες. οὐδ' εἷς δέ ἐστιν ὃς οὐκ εὔφημον ὑπὲρ αὐτοῦ γλῶσσαν ἀνέῳξεν. ἱερεῖς δὲ καὶ ζάκοροι τῶν δαιμονίων ἔτι τῶν αὐτῶν πάντες ἐσμὲν ἐξ ἴσου.

Τούσδε δ' ἔα φθινύθειν [5]), ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν νόσφιν βουλεύωσ' — ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν [b]). —

---

[1]) Ita A. — D. ἐξάδων. Explicit Cod. A. in vocabulo συγκαταινεῖ. Cetera desunt.

[2]) D. δόξαν, παρὰ Φαίαξιν ἐκεῖνο ἀπεφήνατο κάλλιστα.

[3]) D. φυτὰ κήποις.

[4]) D. νεάζουσιν αἱ.

[5]) D. τοὺς δ' ἔα φθινυ...."

a) V. Od. Z. v. 327.          b) V. Il. B. 346.

I.

# INDEX

## LOCORUM HOMERICORUM, AB HERACLITO CITATORUM.


| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Iliadis | A. | 23. | Pag. 10. | Iliadis | Δ. | 433. | Pag. 63. |
| » | » | 46. | » 24. | » | » | 442. | » 61. |
| » | » | 47, 48. | » 28. | » | Ε. | 342. | » 4. |
| » | » | 50. | » 29. | » | » | 385. | » 66. |
| » | » | 53. | » 30. | » | » | 503. | » 21. |
| » | » | 55. | » 31. | » | » | 698. | » 21. |
| » | » | 194. | » 34. | » | » | 831. | » 63. |
| » | » | 189. | » 41. | » | » | 857. | » 64. |
| » | » | 197. | » 41. | » | » | 859. | » 65. |
| » | » | 199. | » 4. | » | Ζ. | 129. | » 3. |
| » | » | 211. | » 42. | » | » | 132. | » 71. |
| » | » | 314. | » 32. | » | » | 136. | » 72. |
| » | » | 399. | » 43. | » | Η. | 99. | » 47. |
| » | » | 472, 475. | » 32. | » | Θ. | 3. | » 73. |
| » | » | 476. | » 33. | » | » | 16. | » 74. |
| » | » | 592. | » 55. | » | » | 83. | » 39. |
| » | Β. | 149. | » 21. | » | » | 199. | » 4. |
| » | » | 154. | » 20. | » | » | 485, 486. | » 96. |
| » | » | 210. | » 20. | » | » | 490. | » 18. |
| » | » | 329. | » 23. | » | Ι. | 502. | » 75. |
| » | » | 346. | » 152. | » | » | 504. | » 76. |
| » | » | 426. | » 56. | » | Κ. | 12. | » 18. |
| » | » | 487. | » 148. | » | » | 205. | » 19. |
| » | Γ. | 276. | » 5. | » | Λ. | 218. | » 148. |
| » | » | 277. | » 48. | » | Μ. | 20. | » 19. |

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Iliadis | Μ. | 27. | Pag. 77. | Odysseae | Α. | 32. | Pag. 6. |
| » | Ν. | 18. | » 3,78. | » | » | 280,284. | » 125. |
| » | » | 340. | » 65. | » | » | 296,298. | » 126. |
| » | Ξ. | 158,171. | » 79. | » | » | 320. | » 127. |
| » | » | 177. | » 80. | » | Γ. | 118. | » 143. |
| » | » | 200. | » 100. | » | » | 295. | » 100. |
| » | » | 216. | » 80. | » | Δ. | 384. | » 132. |
| » | » | 246. | » 46. | » | » | 456. | » 130. |
| » | » | 288. | » 80. | » | » | 805. | » 4. |
| » | » | 347. | » 81. | » | Ε. | 121. | » 133. |
| » | » | 350. | » 82. | » | Ζ. | 102. | » 4. |
| » | Ο. | 18. | » 83. | » | » | 327. | » 152. |
| » | » | 26. | » 85. | » | Η. | 120. | » 144. |
| » | » | 104. | » 3. | » | Θ. | 267. | » 136. |
| » | » | 190. | » 86. | » | » | 306. | » 4. |
| » | Σ. | 239. | » 17. | » | » | 325. | » 4. |
| » | » | 298. | » 18. | » | Ι. | 7. | » 151. |
| » | » | 309. | » 63. | » | Κ. | 6. | » 140. |
| » | » | 310. | » 19. | » | » | 22. | » 141. |
| » | » | 474. | » 92. | » | » | 281,304. | » 143. |
| » | » | 483, 484. | » 103. | » | » | 510. | » 145. |
| » | » | 485. | » 104. | » | Λ. | 549. | » 39. |
| » | » | 533—537. | » 102. | » | » | 578,580. | » 38. |
| » | Τ. | 222. | » 9. | » | Ν. | 298. | » 114. |
| » | Υ. | 67. | » 110. | » | Ξ. | 162. | » 146. |
| » | » | 270. | » 108. | » | Ο. | 299. | » 96. |
| » | Φ. | 541. | » 22. | » | » | 410. | » 16. |
| » | Χ. | 2. | » 22. | » | Υ. | 17. | » 37. |
| » | Ω. | 486. | » 121. | » | » | 351,354. | » 145. |

## II.

# INDEX SCRIPTORUM,

### QUI PRAETER HOMERUM AB HERACLITO CITANTUR.


Pag.

Alcaeus. . . . . . . . . . . . . . . . . . . . . 7. 8.
Alexander Ephesius. . . . . . . . . . . . . . 26.
Anacreon. . . . . . . . . . . . . . . . . . . . 8.
Anaxagoras Clazomenius . . . . . . . . . . . . 46.
Anthologia Planudea . . . . . . . . . . . . . 147.
Apollodorus. . . . . . . . . . . . . . . . . . 12.
Archilochus. . . . . . . . . . . . . . . . . . 6.
Aratus. . . . . . . . . . . . . . . . . . . 105.
Callimachus. . . . . . . . . . . . . . . . . 131.
Crates. . . . . . . . . . . . . . . . . . . . 58.
Empedocles Agrigentinus. . . . . . . . . 51. 105. 136.
Epicurus. . . . . . . . . . . . . . . . 6. 151. 152.
Eratosthenes (Hermes). . . . . . . . . . . . 107.
Eudoxus. . . . . . . . . . . . . . . . . . . 105.
Euripides.
Orestes. . . . . . . . . . . . . . . . 1. 150.
Chrysippus. . . . . . . . . . . . . . . . 47.
Incert. trag. . . . . . . . . . . . . . . 49.
Antigona. . . . . . . . . . . . . . . . . 121.
Heraclitus philosophus. . . . . . . . . . . . 51. 92.

Pag.

Herodicus. . . . . . . . . . . . . . . . . . 22.

Hesiodus. . . . . . . . . . . . . . . . . . 142.

Hipparchus. . . . . . . . . . . . . . . . . . 145.

Plato. . . . . . . . . . . . . . . 5. 37. 43. 147.

Phaedrus. . . . . . . . . . . . . . 35. 149.

Respublica. . . . . . . . . . . . . . 25. 34.

Timaeus. . . . . . . . . . . . . . . 36.

Stoicorum principes. . . . . . . . . . . . . 67.

Thales Milesius. . . . . . . . . . . . . . 45. 46.

Xenophanes Colophonius . . . . . . . . . . . 95.

Zoïlus Amphipolites. . . . . . . . . . . . . 29.

# III.

## INDEX SCRIPTORUM,

### IN QUIBUS TENTATUR EMENDATIO.


Pag.

Anacreon. . . . . . . . . . . . . . . . . . . . 9.
Anonymus de Incredibilibus . . . . . . . . . 35. 137.
Anthologia Planudea. . . . . . . . . . . . xi. 147.
Aristophanes (Nubes). . . . . . . . . . . . . 40.
Cornutus. . . . . . . . . . . . . . . . . 134. 135.
Cramer, Anecdota Oxoniensia. . . . . . . . . . . 49.
Democriti sententiae (apud Gal. Opusc. Mythol.). . . . 3.
Eratosthenes.
Catasterismi. . . . . . . . . . . . . . 40.
Hermes. . . . . . . . . . . . . . . . 108.
Etymologicum MS. Bibl. Paris. . . . . . . . . . 131.
Euripides.
Chrysippus. . . . . . . . . . . . . . . 47.
Orestes. . . . . . . . . . . . . . . . 119.
Eustathius. . . . . . . . . . . . . . . . 117. 139.
Isocrates.
Areopagiticus. . . . . . . . . . . . . . 93.
Panegyricus. . . . . . . . . . . . . . 99.
Lucianus.
Iudicium Vocalium. . . . . . . . . . . . 110.
Verae Historiae. . . . . . . . . . 89. 99. 132.
Vitarum Auctio. . . . . . . . . . . . . 32.

Pag.

Plato.
Ion. . . . . . . . . . . . . . . . 116.
de Legibus. . . . . . . . . . . . . 93.
Phaedrus. . . . . . . . . . . . . . XII.
Timaeus. . . . . . . . . . . . . . 103.
Psellus. . . . . . . . . . . . . . . . . 98.
Scholia in Apollonium Rhodium. . . . . . . . . 112.
» » Homerum. . . . . . . . . . 46. 61. 69.
Simplicius. . . . . . . . . . . . . . . . 25.
Sophocles (Trachiniae). . . . . . . . . . . . 38.
Stobaeus. . . . . . . . . . . . . . . . . . 116.
Vita Homeri (apud Galeum). . . . . . . . . 37. 85.
Xenophon (Oeconomicus). . . . . . . . . . . 99.
Zenobius. . . . . . . . . . . . . . . . . 40.